οἱ δ' οὕτως τὸν Ὅμηρον ἀναιδῶς λωποδυτοῦσιν,
ὥστε γράφειν ἤδη μῆνιν ἄειδε θεά.

---

6 *χελιδόνια* H. Stephanus: *χελιδόνεα* P quem ad modum verba *θηρὶ οὐατόεντι* ex Callimacho (frg. 320 *Schn.*), sic vocabula *ἐκ ποταμῶν χλωρὰ χελιδόνια* ex Parthenio a Polliano arcessita esse perspexit Brunckius *Anal.* II 3 pg. 268.

28 (pg. 276 *Mein.*)

ἀλλ' ὅτ' ἀφ' ἑσπερίης Ἑρκυνίδος ὤρετο γαίης.

Etym. genuin. s. v. *Ἑρκύνιος δρυμός· ὁ τῆς Ἰταλίας*

ἐνδοτάτω· Ἀπολλώνιος ἐν δ̄ Ἀργοναυτικῶν — καὶ Παρθένιος· ἀλλ' — γαίης. (sic B; A tantum verba *Ἑρκύνιος δριμὸς Ἰταλίας* exhibet).

Meinekius ad Parthenii *Herculem* versum rettulit petitum eum esse ratus ex ea carminis parte qua Herculis ex Hispania in Italiam iter describebatur. — ad rem cf. Muellenhoffii *Deutsche Altertumskunde* I[2] (1890) pg. 432 not.

29 (pg. 285 *Mein.*)

ἡ δ' ὅτε δή ⟨ῥ'⟩ ὀλοοῖο κασιγνήτου νόον ἔγνω
κλαῖεν ἀηδονίδων θαμινώτερον, αἵτ' ἐνὶ βήσσῃς
Σιθονίῳ κούρῳ πέρι μυρίον αἰάζουσιν.
καί ῥα κατὰ στυφελοῖο σαρωνίδος αὐτίκα μίτρην
ἀψαμένη δειρὴν ἐνεθήκατο· ταὶ δ' ἐπ' ἐκείνῃ
βεύδεα παρθενικαὶ Μιλησίδες ἐρρήξαντο.

Parthenius *Narr. amat.* cap. XI 4 relato Byblidis infelici in Caunum amore: *λέγεται δὲ καὶ παρ' ἡμῖν οὕτως· ἡ δ' ὅτε — ἐρρήξαντο.*

---

1 ⟨ῥ'⟩ Legrandius *κασιγνήτου* P[1] 2 *κλαῖεν ἀηδονίδων* D. Heinsius, *ἔκλαι' ἀδονίδων* vel *κλαῖεν ἄρ' ἀδονίδων* Meinekius: *κλαῖεν ἀονίδων* P[1] 3 *πέρι* Legrandius: *περι* P 4 *μίτρην*, *ι* in ras P[1] 5 post *ἐνεθήκατο* non nulla excidisse opinatur Rohdius *Griech. Rom.*[2] pg. 102 not. 6 ad *βεύδεα* cf. Hesych. s. v. *βεῦδος· στέμμα τι καὶ ἱμάτιον γυναικεῖον* (vide et Schneideri *Callim.* II 422). ad rem cf. quae pg. 62, 14 sqq. adnotavimus. versus ss. non ad *Μεταμορφώσεις* Parthenii referendos esse monui pg. 22.

30 (pg. 285 *Mein.*)

Γλαύκῳ καὶ Νηρῆι καὶ εἰναλίῳ Μελικέρτῃ.

Gellius *Noct. Att.* XIII 27, 1 (vol. II pg. 179 ed. mai. *H.*):

'Parthenii poetae versus est: *Γλαύκῳ — Μελικέρτῃ.* eum versum Vergilius aemulatus est, itaque fecit duobus vocabulis venuste immutatis parem: *Glauco et Panopeae et Inoo Melicertae'* (*Georg.* I 437). — Macrobius *Saturn.* V 17, 18: 'versus est Parthenii, quo grammatico in Graecis Vergilius usus est, *Γλαύκῳ — Μελικέρτῃ.* hic ait: *Glauco et Panopeae et Inoo Melicertae.'*

a Parthenii versu orsus est Lucillius *Anthol. Pal.* l. VI ep. 164 (vol. I pg. 308 *St.*).

ΓΛⲀΙΚⲰΚⲀΙΝΗΓΕΚⲀΙΕΤΝⲀⲀΤⲰΙΜΕⲀΤΚΕΡΤΗ˜ *X* Glaicokenereikeeinalioimelikerte *Π* ΓΛⲀΥΚⲰ ΚⲀΙ ΝΗΡΕΙ ΝⲀΛΙⲰΙ (litt. ΚⲀΙ ΕΙ post ΕΙ om.) ΝΕΛΙΚΕΡΤΗ *Z* ΓΛⲀΥΚⲰΚⲀΙΝΗΡΕΙ ΚⲀΙΕΙΝⲀΛΙⲰΙΜΕΛΙΚΕΡΤΗ *ON* TaliKωKαιΝΗΡεειKαιΙΝωω Mελικεριν *Np* ΤⲀΛΙΚⲰΚⲀΙΝΗΡΕΕΙΚⲀΙΙΝⲰⲰΜΕΛΙΚΕΡΙΝ *P γλαύκωι καὶ νιρεῖ καὶ ἰνοῖ καὶ μελικέρτηι* Pal. 23 (*γλαύκωι καὶ νηρεῖ καὶ ἰνοῖ καὶ μελικέρτηι* Planudes) pro *Νηρεῖ* scribendum esse *Νηρῆι* pervidit Jos. Scaligerus.

a Gellio dependet Macrobius, apud quem quod versus Parthenianus paullo aliam formam habet, discrimen inde ortum videtur, quod sive Macrobius ipse sive inscitus quis librarius graeca Parthenii ad Vergilii latina reformanda esse putavit.

31 (pg. 278 *Mein.*)

μάρτυρα δ' ἄμμιν
τῆς ἐπὶ Γαδείρῃ ⟨στηλῶν ζεῦγος⟩ λίπεθ' οἶμον
ἀρχαίου Βριαρεῶο ἀπ' οὔνομα τὸ πρὶν ἀράξας.

Schol. Dionys. Perieg. v. 456 (Muelleri *Geogr. gr. min.* II 448, 25): *ἐνταῦθά* (apud Gades) *εἰσιν αἱ στῆλαι τοῦ Ἡρακλέους. — ὁ δὲ Παρθένιος Βριάρεω τὰς στήλας φησὶν εἶναι· μάρτυρα — ἀράξας.*

---

sermonem esse de Hercule, qui columnas Gaditanas antiquo nomine privarit a suoque nomine Herculeas appellarit (cf. Aristot. apud Ael. *Var. hist.* V 3 et schol. Dionys. Perieg. v. 64), viri docti consentiunt. 1 *ἀμφίς* Muellerus l. l. 2 *τὴν*

ἐπὶ γάδειρα λίπε θυμὸν codd. Muelleri: in *λίπε θυμὸν* delitescere verba *λίπεθ' οἶμον* sagaciter pervidit Bernhardyus *Geogr. gr. min.* I 1002. neque vero accusativus vocis *οἶμος* hoc loco quadrat sed genetivus, qui nimirum a vocabulo *μάρτυρα* suspensus est. proinde exarandum *τῆς — οἴμου*. porro pro *Γάδειρα* reponendum esse *Γαδείρῃ* agnovit Meinekius (de *Γάδειρα* nomine *θηλυκῶς* posito cf. Bergerum *D. geogr. Frg. d. Eratosth.* Lips. 1880 pg. 366). *στηλῶν ζεῦγος* ego supplevi. sententia igitur loci haec est: Hercules testem itineris sui Gaditani nobis (i. e. posteris) reliquit columnarum par. verba *λίπεθ' οἴμου* (◡ ◡ – –), sive ante ea sive post ea lacunam esse statuas, versum mutilatum hexametrum dactylicum esse affatim docent. plerique autem viri docti hunc versum pro pentametro habuerunt, iniuria spreto Bernhardyi invento: *τὴν ἐπὶ Γαδείρᾳ λεῖπε θεημοσύνην* ci. G. Hermannus *Zeitschr. für die Alterthumswiss.* 1836 pg. 531, *τὴν ἐπὶ Γαδείρᾳ κάλλιπε θεσμοσύνην* Bergkius *eod. diar.* 1837 pg. 456, *τὴν ἐπὶ Γαδείρῃ* (vel *Γαδείροις* vel *Γαδείρῳ* quae forma vitiosa est) *ἔλλιπε θημοσύνην* (cl. Etym. magn. s. v. *εὐθημοσύνη*) vel *τῆς ἐπὶ Γαδείρῃ ἔλλιπε ναυτιλίης* Meinekius, *τῆς ἐπὶ Γαδείροις ἔλλιπ' ἀλημοσύνης* Lobeckius *Pathol. elem.* pg. 346 not. 32. contra Muellerus coniunctis versus primi et secundi reliquiis hos consarcinavit hexametros ne magistello quidem Byzantino dignos: *μάρτυρα δ' ἀμφὶς τῇδ' ἐπὶ Γαδείρῃ λίπε θωμόν* vel *μάρτυρα δ' Ἀβίννην ἐπὶ Γαδείρῃ λίπες ἄμμιν* vel *μάρτυρα δ' ἀμφὶς τῆς ἐπὶ Γαδείρῃ λίπες οἴμου*   3 *Βριαρεῶο* G. Hermannus l. c., *Βριάρηο* (cl. Etym. magn. pg. 213, 23) Bergkius l. l., *Βριαρῆος* (cl. Etym. magn. pg. 213, 26) vel *Βριαρεῶος* (cl. Etym. magn. pg. 102, 39) Meinekius: *βριάρεω* codd. Muelleri   *ἀράξας* G. Hermannus l. c.: *ἄρξας* codd. Muelleri.

Meinekius versus ss. e Parthenii *Hercule* adcitos esse arbitratur (cf. p. 19).

32 (pg. 286 *Mein.*)

ἵλαος ὦ Ὑμέναιε.

Choerob. *schol. in Theodos. canon.* pg. 252, 21 *Hilgard.* (Herod. ed. *Lentz.* II 625, 25): *τὸ ἵλαος συνεσταλμένον ἔχον τὸ ᾱ, οἷον ὡς παρὰ Παρθενίῳ: ἵλαος ὦ Ὑμέναιε.*

---

frustum epithalamii est. cf. Reitzensteinum *Hermae* vol. XXXV (1900) pg. 96 not. 1.

33 (pg. 286 *Mein.*)

Τήλεφος ἀργεϊφόντης.

Etym. Gud. s. v. *ἀργεϊφόντης*· ὁ Ἑρμῆς παρ' Ὁμήρῳ καὶ παρὰ πολλοῖς· παρὰ δὲ Σοφοκλεῖ καὶ ἐπὶ τοῦ Ἀπόλλωνος καὶ παρὰ Παρθενίῳ καὶ ἐπὶ τοῦ Τηλέφου.

34 (pg. 287 *Mein.*)

ὢ ἐμὲ τὴν τὰ περισσά.

Apoll. Dysc. *De adverb.* pg. 127, 5 *Schneid.*: τὸ πλῆρες τῆς φωνῆς ἀκούουσιν ὢ ἐμοί, ὡς ἔχει καὶ παρὰ Παρθενίῳ· *ὢ — περισσά.*

Meinekius versum sic redintegrat: ὢ ἐμὲ τὴν τὰ περισσὰ καὶ οὐκ ἔτι τλητὰ (vel καὶ ἄλγεα δεινὰ) παθοῦσαν. ad Scyllae delusae lamentationem (frg. 20) hoc frustum revocat G. Knaackius.

35 (pg. 289 *Mein.*)

Τυφρήστιον αἶπος.

Steph. Byz. pg. 643, 22 *M.* (Herod. ed. *Lentz.* I 121, 36 et II 881, 37): Τυφρηστός· πόλις τῆς Τραχῖνος ὀνομασθεῖσα ἀπὸ τῆς τέφρας Ἡρακλέους ἢ ἀπὸ Τυφρηστοῦ υἱοῦ Σπερχειοῦ. τὸ ἐθνικὸν Τυφρήστιος. καὶ τὸ οὐδέτερον Παρθένιος (σπαρθένιος P παρθ' R πάρθιος V)· *Τυφρήστιον αἶπος.*

αἶπος Salmasius: ἔπος RVP

36 (pg. 284 *Mein.*)

δείκελον Ἰφιγόνης.

Etym. genuin. s. v. *δείκελον* (Herod. ed. *Lentz.* II 354, 1 et 489, 34): λέγεται δὲ καὶ δείκηλον. σημαίνει

δὲ ἄγαλμα ἢ ὁμοίωμα . . . . εὕρηται γὰρ διὰ τοῦ η̄ ⟨*καὶ διὰ τοῦ* ε̄ add. Reitzensteinus⟩ *ὡς παρὰ Παρθενίῳ δείκελον Ἰφ.* (sic A; *εὕρηται δὲ καὶ δείκελον παρὰ Παρθενίῳ δείκελον Ἰφ.* B).

Ἰφιγόνης Meinekius (cf. Eurip. *Electrae* v. 1023): *ἰφιγένης* AB
hoc fragmentum ad Parthenii *Metamorphoses* rettulit Knaackius apud Susemihl. *Hist. litt. alex.* I 194 not. 115. quae coniectura si vera est, lacinia conservata versus heroici principium fuerit.

37 (pg. 287 *Mein.*)

Κανωπίτης (*Ἄδωνις*).

Steph. Byz. pg. 176, 19 *M.* (Herod. ed. *Lentz.* II 866, 37): *ἀπὸ γὰρ τῆς εἰς* ο̄ς̄ *εὐθείας ἡ διὰ τοῦ* ῑτ̄η̄ς̄ *παραγωγὴ πλεονάζει μιᾷ συλλαβῇ, ὡς τόπος τοπίτης, Κανωπίτης ὁ Ἄδωνις παρὰ Παρθενίῳ.*

κανοπίτης R
cf. quae ad frg. 23 adnotavimus.

38 (pg. 287 *Mein.*)

Γενειάδες.

Steph. Byz. pg. 202, 7 *M.*: *Γενέα· κώμη Κορίνθου, ὁ οἰκήτωρ Γενεάτης . . . . . . τινὲς τὰς ἀπὸ ταύτης καλοῦσι Γενειάδας, ὡς Παρθένιος. τινὲς δὲ Τενέα γράφουσιν.*

---

formam a littera T incipientem usurpasse Parthenium existimat Meinekius.

39 (pg. 288 *Mein.*)

Ἐλεφαντίς.

Steph. Byz. pg. 266, 13 *M.* (Herod. ed. *Lentz.* I 333, 32): ⟨*Ἐλεφαντίνη· πόλις Αἰγύπτου.* add. Vossius⟩ *Παρθένιος δὲ Ἐλεφαντίδα αὐτήν φησιν.*

ἐλευφαντίδα R

40 (pg. 288 *Mein.*)

Ἐπιδάμνειος.

Steph. Byz. pg. 273, 3 *M.* (Herod. ed. *Lentz.* II 509, 1 et 879, 27): *Ἐπίδαμνος· πόλις Ἰλλυρίας ...... τὸ ἐθνικὸν Ἐπιδάμνιος. εὕρηται παρὰ Παρθενίῳ καὶ διὰ διφθόγγου.*

41 (pg. 288 *Mein.*)

Μαγνησσίς.

Steph. Byz. pg. 424, 19 *M.* (Herod. ed. *Lentz.* I 102, 16): *Μαγνησία· πόλις παρὰ τῷ Μαιάνδρῳ καὶ χώρα ... ὁ πολίτης Μάγνης ... τὸ θηλυκὸν Μάγνησσα παρὰ Καλλιμάχῳ* (frg. 333 *Schn.*) *καὶ Μαγνησσὶς παρὰ Παρθενίῳ καὶ Μαγνῆτις παρὰ Σοφοκλεῖ* (frg. 963 *N.*).

Μαγνησσίς scripsi (cf. Nonni *Dionys.* X 322), hoc an *Μαγνησίς* exarandum sit dubitat Meinekius: *μάχνησις* (γ supra) R *μάγνησις* VP

42 (pg. 288 *Mein.*)

Μυρκιννία.

Steph. Byz. pg. 463, 14 *M.* (Herod. ed. *Lentz.* II 552, 18): *Μύρκινος· τόπος καὶ πόλις κτισθεῖσα παρὰ τῷ Στρυμόνι ποταμῷ. τὸ ἐθνικὸν Μυρκίνιος καὶ Μυρκινία. Παρθένιος δὲ Μυρκιννίαν αὐτήν φησιν.*

Meinekio forma *Μυρκιννία* corrupta videtur.

43 (pg. 288 *Mein.*)

Μυτωνίδες.

Steph. Byz. pg. 465, 7 *M.* (Herod. ed. *Lentz.* I 96, 10 et 332, 31): *οἱ δὲ* (Mytilenen nominatam perhibent)

ἀπὸ Μύτωνος τοῦ Ποσειδῶνος καὶ Μυτιλήνης. ὅθεν Μυτωνίδα καλεῖ τὴν Λέσβον Καλλίμαχος ἐν τῷ τετάρτῳ (frg. 33 *Schn.*). *Παρθένιος δὲ Μυτωνίδας τὰς Λεσβικάς* (*Λεσβίας* Meinekius; an *Λεσβίδας*?) *φησιν.*

Μυτωνίδας Xylander: *μυτωνίδου* RVP

44 (pg. 290 *Mein.*)

δροίτη.

Etym. genuin. s. v. *δροίτη* (Herod. ed. *Lentz.* II 494, 19): *ἡ πύελος· ὁ δὲ Αἰτωλὸς* ⟨*Ἀλέξανδρός* suppl. Meinekius⟩ *φησι τὴν σκάφην ἐν ᾗ τιθηνεῖται τὰ βρέφη* (frg. VI *M.*). *Παρθένιος δὲ τὴν σορόν* (sic B; *σωρόν* A), *καὶ Αἰσχύλος* (*Agam.* v. 1521). cf. Zonar. lex. pg. 571 ed. Tittm.

45 (pg. 290 *Mein.*)

Ταυχέριος (*Ταυχερίων*).

Choerob. *De orthogr.* Crameri *Anecd. Oxon.* II 266, 10 (Herod. ed. *Lentz.* II 588, 15): *Ταύχειρα· ει, ἐπειδὴ καὶ εὕρηται καὶ χωρὶς τοῦ ι παρὰ Παρθενίῳ· ἐκεῖνος γὰρ εἶπεν Ταυχέριος τὸ ἐθνικόν.*

Cyrill. lex. Crameri *Anecd. Paris.* IV 191, 31: *Ταύχειρα· πόλις Λιβύης·* ⟨*ὁ πολίτης Ταυχείριος καὶ Ταυχέριος·*⟩ *Ταυχερίων γοῦν ὁ Παρθένιος.*

Ταυχέριος apud Choerob. rest. Meinekius: *ταυχείριος* cod. Barocc. L. item Cyr. lex. cod. praeb. *ταυχειρίων*, quod sine dubio duce Choerob. in *Ταυχερίων* corrigendum. Cyrilli articulum quem ad modum apud Cramerum legitur mancum esse liquet. supplevi ex Steph. Byz. pg. 609, 1 *Mein.* quod autem Cramerus n. l. adnotat: '*Ταυχείριον ἄστυ Anecd. Oxon.* II, e cod. Barocc. 50', quo haec verba spectent ne ego quidem extricare potui.

46

ἠλαίνουσα.

Etym. genuin. s. v. *ἠλαίνω· τὸ μωραίνω καὶ ἠλαίνουσα παρὰ Παρθενίῳ* (sic A et B).

---

cf. Callim. *hymn. in Dian.* v. 251 cum scholio.

47 (pg. 289 *Mein.*)

Steph. Byz. 472, 4 *M.*: *Νέμανσος· πόλις Γαλλίας* (sic Xylander; *Ἰταλίας* RVP) *ἀπὸ Νεμαύσου Ἡρακλείδου, ὡς Παρθένιος.*

---

haec ad Parthenium Phocaeensem spectare putat Meinekius.

[48 (p. 290 *Mein.*)]

Ps.-Apuleius *De Orthogr.* § 64 pg. 13 *Os.*: *at Phaedra indignata filium patri incusavit quod se appellasset* (*attentasset* Meinekius): *qui diras in filium iactavit, quae ratae fuerunt: a suis enim equis in rabiem versis innocens discerptus est. sic illam de se et sorore ultionem scripsit Lupus Anilius. idem scribit in Helene tragoedia. Parthenius aliter.*

---

haec Parthenii memoria quin ementita sit non dubitabit quicumque Caelii Rhodigini (cf. O. Crusium *Philol.* XLVII 434) fraudes deliberaverit.

IIII

PARTHENII NICAENI

NARRATIONES AMATORIAE

Siglorum index.

P = codex Palatinus graecus nr. 398 (sc. IX aut X)
P[1] = ipsius librarii manus } in locis correctis
P[2] = manus altera }
Bast = Bast (*Epist. crit. super Ant. Lib., Parth. et Aristaen. Lipsiae 1809*)
Cob = Cobet (*apud Hir. cf. s. v.*)
Corn = Cornarius (ed. princ. 1531)
Ell = Ellis (*Corr. of the text of Parth.* publ. in *Americ. Journ. of Philol. VII [1886] 2 pg. 224—227*)
Gal = Gale (*ed. 1675*)
Her = Hercher (*ed. 1858*)
Hey = Heyne (*qui cum Legrandio Parth. ed. 1798*)
Hir = Hirschig (*ed. 1856*)
Jac = Jacobs (*vers. germ. 1837*)
Legr = Legrand (cf. *Hey*)
May = Mayer-G'schrey (*Parth. Nic. quale in fab. amat. brev. dic. genus sec. sit Heidelbergae 1898*)
Mein = Meineke (*ed. 1843*)
Pass = Passow (*ed. 1824*)
Ro = Rohde (*cuius exemplar Myth. Westerm. nuper emi*)
Sak = Sakolowski (*ed. 1896*)
West = Westermann (*ed. 1843*)
Zang = Zangoiannes (*Κριτικαὶ παρατηρήσεις εἰς Παρθένιον* evolg. in *ΑΘΗΝΑΙ XII [1900] pg. 459—475*)

uncis quadratis [ ] delenda, fractis ⟨ ⟩ addenda circumsaepta sunt.

quaecumque erectis litteris describenda curavi, a Parthenio aliena sunt.

Vetus tabula argumenti.

In fronte fol. 173^v codicis P exstat haec inscriptio:

ΠΑΡΘΕΝΊΟΥ ΠΕΡῚ ἘΡΩΤΙΚΩ͂Ν ΠΑΘΗΜΆΤΩΝ

sequitur hic capitum laterculus item litteratura q. v. maiuscula exaratus:

Ταῦτα ἐν τῷδε τῷ συγγράμματι περιέχεται.

α̅ περὶ Λύρκου
β̅ περὶ Πολυμήληϲ
γ̅ περὶ Εὐίππηϲ
δ̅ περὶ Οἰνώνηϲ
ε̅ περὶ Λευκίππου
ϛ̅ περὶ Παλλήνηϲ
ζ̅ περὶ Ἱππαρίνου
η̅ περὶ Ἡρίππηϲ
θ̅ περὶ Πολυκρίτηϲ
ι̅ περὶ Λευκώνηϲ
ια̅ περὶ Βυβλίδοϲ
ιβ̅ περὶ Κάλχου
ιγ̅ περὶ Ἁρπαλύκηϲ
ιδ̅ περὶ Ἀνθέωϲ
ιε̅ περὶ Δάφνηϲ
ιϛ̅ περὶ Λαοδίκηϲ
ιζ̅ περὶ τῆϲ Περιάνδρου μητρόϲ
ιη̅ περὶ Νεαίραϲ
ιθ̅ περὶ Παγκρατοῦϲ
κ̅ περὶ Αἰροῦϲ
κα̅ περὶ Πειϲιδίκηϲ
κβ̅ περὶ Νανίδοϲ
κγ̅ περὶ Ἰωνίδοϲ
κδ̅ περὶ Ἱππαρίνου
κε̅ περὶ Φαΰλλου
κϛ̅ περὶ Ἀπριάτηϲ
κζ̅ περὶ Ἀλκινόηϲ
κη̅ περὶ Κλείτηϲ
κθ̅ περὶ Δάφνιδοϲ
λ̅ περὶ Κελτίνηϲ
λα̅ περὶ Διμοίτου
λβ̅ περὶ Ἀνθίππηϲ
λγ̅ περὶ Ἀϲϲάονοϲ
λδ̅ περὶ Κορύθου
λε̅ περὶ Εὐλιμένηϲ
λϛ̅ περὶ Ἀργανθώνηϲ

Δ̅ ΠΕΡῚ ΟἸΝΩ͂ΝΗϹ *post inseruit* P^1 Κ̅ ΠΕΡῚ ΑἸΡΟΥ͂Ϲ P
cap. XXIII inscribitur fol. 185^r ΠΕΡῚ ΧΕΙΛΩΝΊΔΟϹ, *sed* ЄΙ *ex* Є *effinxit* P^1.

ΠΑΡΘΕΝΙΟΣ ΚΟΡΝΗΛΙΩΙ ΓΑΛΛΩΙ ΧΑΙΡΕΙΝ.

Μάλιστα σοὶ δοκῶν ἁρμόττειν, Κορνήλιε Γάλλε, τὴν ἄθροισιν τῶν ἐρωτικῶν παθημάτων ἀναλεξάμενος ὡς ὅτι πλεῖστα ἐν βραχυτάτοις ἀπέσταλκα. τὰ γὰρ παρά τισι τῶν ποιητῶν κείμενα τούτων, μὴ αὐτοτελῶς λελεγμένα, κατανοήσεις ἐκ τῶνδε τὰ πλεῖστα· (2) *αὐτῷ τέ σοι παρέσται εἰς ἔπη καὶ ἐλεγείας ἀνάγειν τὰ μάλιστα ἐξ αὐτῶν ἁρμόδια. ⟨μηδὲ⟩ διὰ τὸ μὴ παρεῖναι τὸ περιττὸν αὐτοῖς, ὃ δὴ σὺ μετέρχῃ, χεῖρον περὶ αὐτῶν ἐννοηθῇς· οἱονεὶ γὰρ ὑπομνηματίων τρόπον αὐτὰ συνελεξάμεθα, καὶ σοὶ νυνὶ τὴν χρῆσιν ὁμοίαν, ὡς ἔοικε, παρέξεται.*

I. Περὶ Λύρκου.

Ἡ ἱστορία παρὰ Νικαινέτῳ ἐν τῷ Λύρκῳ καὶ Ἀπολλωνίῳ Ῥοδίῳ Καύνῳ.

Ἁρπασθείσης Ἰοῦς τῆς Ἀργείας ὑπὸ λῃστῶν ὁ πατὴρ αὐτῆς Ἴναχος μαστῆράς τε καὶ ἐρευνητὰς ἄλλους

EPIST. DEDIC. *Cf. Graefenhain De more libr. dedicandi ap. script. gr. et rom. obv. (Marp. 1892) pg. 24.*

---

4 *ἀναλεξάμενοσ* P[2]: *ἀναλεξόμενοσ* P[1]   5 *πλεῖστα Zang: μάλιστα* P   6 *κείμενα τούτων (scil. τῶν ἐρ. παθ.), μὴ αὐτ. λελεγμένα Lehrsius Herod. scr. tria (1848) pg. 431 κείμενα, τούτοις μὴ αὐτ. λελεγμένα Zang: κείμενα, τούτων μὴ αὐτ. λελεγμένων* P   7 *οὕτω δέ σοι Zang*   9 *⟨μηδὲ⟩ διὰ Lehrsius l. l.*   11 *ἐννοηθῇς Lehrsius ibid.: ἐνενοήθησ* P   16 *Ἀπολλωνίῳ Ῥοδίῳ*] *Cf. Michaelis De Apoll. Rh. fragm. (Hal. 1875) pg. 8 sqq.*   18 *ἄλλους ⟨τε⟩ Schneiderus prob. Zang*

καθῆκεν· ἐν δὲ αὐτοῖς Λύρκον τὸν Φο|ρωνέως, ὃς μάλα fol. 174r πολλὴν γῆν ἐπιδραμὼν καὶ πολλὴν θάλασσαν περαιωθείς τέλος, ὡς οὐχ εὕρισκεν, ἀπεῖπε τῷ καμάτῳ· καὶ εἰς μὲν Ἄργος δεδοικὼς τὸν Ἴναχον οὐ μάλα τι κατῄει, ἀφικόμενος δὲ εἰς Καῦνον πρὸς Αἰγιαλὸν γαμεῖ αὐτοῦ τὴν θυγατέρα Εἰλεβίην. (2) φασὶ γὰρ τὴν κόρην ἰδοῦσαν τὸν Λύρκον εἰς ἔρωτα ἐλθεῖν καὶ πολλὰ τοῦ πατρὸς δεηθῆναι κατασχεῖν αὐτόν. ὁ δὲ τῆς τε βασιλείας μοῖραν οὐκ ἐλαχίστην ἀποδασάμενος καὶ τῶν λοιπῶν ὑπαργμάτων γαμβρὸν εἶχεν. χρόνου δὲ πολλοῦ προϊόντος, ὡς τῷ Λύρκῳ παῖδες οὐκ ἐγίνοντο, ἦλθεν εἰς Διδυμέως χρησόμενος περὶ γονῆς τέκνων· καὶ αὐτῷ θεσπίζει ὁ θεὸς παῖδας φύσειν, ᾗ ἂν ἐκ τοῦ ναοῦ χωρισθεὶς πρώτῃ συγγένηται. (3) ὁ δὲ μάλα γεγηθὼς ἠπείγετο πρὸς τὴν γυναῖκα πειθόμενος κατὰ νοῦν ἂν αὐτῷ χωρήσειν τὸ μαντεῖον. ἐπεὶ δὲ πλέων ἀφίκετο ἐς Βυβαστὸν πρὸς Στάφυλον τὸν Διονύσου, μάλα φιλοφρόνως ἐκεῖνος αὐτὸν ὑποδεχόμενος εἰς πολὺν οἶνον προετρέψατο καὶ ἐπειδὴ πολλῇ μέθῃ παρεῖτο, συγκατέκλινεν αὐτῷ Ἡμιθέαν τὴν θυγατέρα. (4) ταῦτα δὲ ἐποίει προπεπυσμένος τὸ τοῦ χρηστηρίου καὶ βουλόμενος ἐκ ταύτης αὐτῷ παῖδας γενέσθαι. δι' ἔριδος

πολλοὺς *Courierus ad Luc. Asin. pg. 234* ⟨πολλοὺς μὲν⟩ ἄλλους *Mein* ⟨πολλούς τε⟩ ἄλλους *Her*

1 ἕν τε αὐτοῖς *Meursius ad. Hes. Mil. pg. 219 (sed cf. VIII 2)* ἐν δὲ αὐτοῖς ⟨καὶ⟩ *Mein Zang* 3 τὸν κάματον *Her* 4 οὐ μάλ' ἔτι *Zang* 5 Αἰγιαλὸν *Hey ex Con. Narr. cap. II (cf. Knaackii Callimacheorum [Stett. 1887] pg. 15)* Αἰβιαλὸν *Legr:* αἰβίαλον, *sed* βι *in ras.*, P 6 Αἰγιάλειαν *(pro* Εἰλεβίην*) dubitanter Hey* φασὶ *Ro:* ἔφασαν P 15 νοῦν [ἂν] *Cob (sed cf. May pg. 48)* 17 Βυβαστὸν *G. Knaackius (cl. Steph. Byz. s. v.* Βυβασσός*)* Βύβαστον *edd. rec.:* βόβαστον P[1] *qui tamen postea ut videtur super prius o posuit pusillum* ν *(= υ)* 21 τὰ τ. χρ. *Hir*

μέντοι ἐγένοντο Ῥοιώ τε καὶ Ἡμιθέα αἱ τοῦ Σταφύλου, τίς αὐτῶν μιχθείη τῷ ξένῳ· τοσοῦτος ἀμφοτέρας κατέσχε πόθος. (5) *Λύρκος δὲ ἐπιγνοὺς τῇ ὑστεραίᾳ, οἷα ἐδεδράκει, καὶ τὴν Ἡμιθέαν δρῶν συγκατακεκλιμένην ἐδυσφόρει τε καὶ πολλὰ κατεμέμφετο τὸν Στάφυλον ὡς ἀπατεῶνα γενόμενον αὐτοῦ. ὕστερον δὲ μηδὲν* fol. 174v *ἔχων ὅ τι ποιῇ, περιελόμενος τὴν ζώνην δίδωσι τῇ* | *κόρῃ κελεύων ἡβήσαντι τῷ παιδὶ φυλάττειν, ὅπως ἔχῃ γνώρισμα, ὁπότ' ἂν ἀφίκοιτο πρὸς τὸν πατέρα αὐτοῦ εἰς Καῦνον, καὶ ἐξέπλευσεν.* (6) *Αἰγιαλὸς δὲ ὡς ᾔσθετο τά τε κατὰ τὸ χρηστήριον καὶ τὴν Ἡμιθέαν, ἤλαυνε τῆς γῆς αὐτόν. ἔνθα δὴ μάχη συνεχὴς ἦν τοῖς τε τῷ Λύρκῳ προσκειμένοις καὶ τοῖς τὰ Αἰγιαλοῦ φρονοῦσιν. μάλιστα δὲ συνεργὸς ἐγίνετο Εἰλεβίη· οὐ γὰρ ἀπεῖπεν τὸν Λύρκον. μετὰ δὲ ταῦτα ἀνδρωθεὶς ὁ ἐξ Ἡμιθέας καὶ Λύρκου (Βασίλος αὐτῷ ὄνομα) ἦλθεν εἰς τὴν Καυνίαν, καὶ αὐτὸν γνωρίσας ὁ Λύρκος ἤδη γηραιὸς ὢν ἡγεμόνα καθίστησι τῶν σφετέρων λαῶν.*

II. Περὶ Πολυμήλης.

Ἱστορεῖ Φιλητᾶς Ἑρμῇ.

Ὀδυσσεὺς ⟨δὲ⟩ ἀλώμενος περὶ Σικελίαν καὶ τὴν Τυρρηνῶν καὶ τὴν Σικελῶν θάλασσαν ἀφίκετο πρὸς Αἴολον

---

2 *μιγείη mavolt Her* 3 *οἷα (sed α in membr. perforata)* P: *ποῖα Gal (sed cf. May pg. 43/44)* 4 *[καὶ] Cob* 9 *αὐτοῦ vitiose Pass* 10 *Αἰγιαλὸς Hey: αἰβίαλοσ* P 12 *⟨ἐκ⟩ τῆς γῆς Hir (sed cf. May pg. 17)* *τοῖς τε τῷ Λύρκῳ προσκειμένοις Ro τοῖς τε τὰ Λύρκου [προσιεμένοις] Hir τοῖς τε τῷ Λύρκῳ προσθεμένοις Her: τοῖσ τε τὰ λύρκου προσιεμένοισ* P 13 *Αἰγιαλοῦ Hey: αἰβιάλου* P 16 *Βασίλος Pass: βάσιλοσ* P 20 ΦΙΛΙΤΑϹ P] *Cf. Philetae Coi rell. dispos. Bachius (1829) pg. 32 et Mein Anal. Alex. pg. 348 proxx.* 21 *⟨δὲ⟩ Mein Philol. vol. XIV (1855) pg. 7* 22 *αἰόλον constanter* P

καὶ Μελιγουνίδα νῆσον. ὃς αὐτὸν κατὰ κλέος σοφίας τεθηπὼς ἐν πολλῇ φροντίδι εἶχε τά ⟨τε⟩ περὶ Τροίης ἅλωσιν καὶ ὃν τρόπον αὐτοῖς ἐσκεδάσθησαν αἱ νῆες κομιζομένοις ἀπὸ τῆς Ἰλίου διεπυνθάνετο ξενίζων τε αὐτὸν πολὺν χρόνον διῆγεν. (2) τῷ δ' ἄρα καὶ αὐτῷ ἦν ἡ μονὴ ἡδομένῳ· Πολυμήλη γὰρ τῶν Αἰολίδων τις ἐρασθεῖσα αὐτοῦ κρύφα συνῆν. ὡς δὲ τοὺς ἀνέμους ἐγκεκλεισμένους παραλαβὼν ἀπέπλευσεν, ἡ κόρη φωρᾶταί τινα τῶν Τρωϊκῶν λαφύρων ἔχουσα καὶ τούτοις μετὰ πολλῶν δακρύων ἀλινδουμένη. (3) ἔνθα ⟨δὴ⟩ ὁ Αἴολος τὸν μὲν Ὀδυσσέα καίπερ οὐ παρόντα ἐκάκισεν, τὴν δὲ Πολυμήλην ἐν νῷ ἔσχε τίσασθαι. ἔτυχε δὲ αὐτῆς ἠρασμένος ὁ ἀδελφὸς Διώρης, ὃς αὐτὴν παραιτεῖταί τε καὶ πείθει τὸν πατέρα αὐτῷ συνοικίσαι.

III. Περὶ Εὐίππης.

Ἱστορεῖ Σοφοκλῆς Εὐρυάλῳ.

Οὐ μόνον δὲ Ὀδυσσεὺς περὶ Αἴολον ἐξήμαρτεν, ἀλλὰ καὶ μετὰ τὴν ἄλην, ὡς τοὺς μνηστῆρας ἐφόνευσεν,

---

FAB. III. *Cf. Porphyr. apud Eustath. ad Odyss. II 118 pg. 1796, 52 Rom. de fab. diss. Maassius Comment. mythogr. II (1894) pg. XI sq.*

---

1 *pro* καὶ *leg. prop.* εἰς *Bast* κατὰ *Hey* Μελιγουνίδα νῆσον *hexametri fragmentum putat O. Schneiderus Nicandr. pg. 47 not. 2* 2 τά ⟨τε⟩ *Legr* ⟨καὶ⟩ τὰ *Zang:* τὰ P 6 μόνη P ἡδομένῳ *Leopardus Emendat. IV 24:* ἡδομένη P 9 κἂν τούτοις (*et in sequ.* ἀλινδουμένη) *C. Ph. Kayserus* 10 δακρύωναλινδουμένη P[1] *ex* ν *primo fecit* κ *et super* ω *minutum* ν *conlocavit* P[2]: δ. ἐναλινδουμένη *Bast* δ. ἐπαλινδουμένη *Sak (sed videsis May pg. 17)* ἔνθα ⟨δὴ⟩ *Her* 17 Σοφοκλῆς] *Cf. Nauckii Trag. Gr. Frg.*[2] *pg. 177 proxx.*

fol. 175r εἰς Ἤπειρον ἐλ|θὼν χρηστηρίων τινῶν ἕνεκα τὴν Τυρίμμα θυγατέρα ἔφθειρεν Εὐίππην, ὅς αὐτὸν οἰκείως τε ὑπεδέξατο καὶ μετὰ πάσης προθυμίας ἐξένιζεν. παῖς δὲ αὐτῷ γίνεται ἐκ ταύτης Εὐρύαλος. (2) τοῦτον ἡ μήτηρ, ἐπεὶ εἰς ἥβην ἦλθεν, ἀποπέμπεται εἰς Ἰθάκην συμβόλαιά τινα δοῦσα ἐν δέλτῳ κατεσφραγισμένα. τοῦ δὲ Ὀδυσσέως κατὰ τύχην τότε μὴ παρόντος Πηνελόπη καταμαθοῦσα ταῦτα καὶ ἄλλως δὲ προπεπυσμένη τὸν τῆς Εὐίππης ἔρωτα πείθει τὸν Ὀδυσσέα παραγενόμενον, πρὶν ἢ γνῶναί τι τούτων ὡς ἔχει, κατακτεῖναι τὸν Εὐρύαλον ὡς ἐπιβουλεύοντα αὐτῷ. (3) καὶ Ὀδυσσεὺς μὲν διὰ τὸ μὴ ἐγκρατὴς φῦναι μηδὲ ἄλλως ἐπιεικὴς αὐτόχειρ τοῦ παιδὸς ἐγένετο. καὶ οὐ μετὰ πολὺν χρόνον ἢ τόδε ἀπειργάσθαι πρὸς τῆς αὐτὸς αὐτοῦ γενεᾶς τρωθεὶς ἀκάνθῃ θαλασσίας τρυγόνος ἐτελεύτησεν.

IV. Περὶ Οἰνώνης.

Ἱστορεῖ Νίκανδρος ἐν τῷ περὶ ποιητῶν καὶ Κεφάλων ὁ Γεργίθιος ἐν Τρωϊκοῖς.

Ἀλέξανδρος ⟨δὲ⟩ ὁ Πριάμου βουκολῶν κατὰ τὴν Ἴδην ἠράσθη τῆς Κεβρῆνος θυγατρὸς Οἰνώνης. λέγεται δὲ

FAB. IV. *cf. Lycophr. Alex. v. 57 sqq. (cum comment.), Conon. Narr. cap. XXIII, Apollodori Biblioth. III 12, 6 (pg. 151, 1 sqq. W.), Commenta Lucani IX 973 cum nota Useneri pg. 313, 26, Quinti Smyrn. X 259 sqq., Dictys III 26 et IV 21 (Malal. pg. 140, Cedren. pg. 130) de fab. disp. Hoefer Konon pg. 45 sqq.*

3 ἐξένισε *Scaligerus* 12 [μὲν] *Zang* 14 ἀπειργάσθαι *Legr* ἀπεργάσασθαι *Gal:* ἀπεργάσθαι P 15 *in ultimis Parthenii verbis senarium Sophocleum* — τρωθεὶς ἀκάνθῃ τρυγόνος θαλασσίας — *agnoscere sibi est visus Meinekius. at vide Maass. l. l. pg. XI et Spironem WfklPh 1896 nr. 27 pg. 731* 17 Νίκανδρος καὶ Κεφάλων] *Cf. Schneideri Nicandrea pg. 27 sq. et Muelleri Frag. Hist. Gr. III pg. 69* ΠΕΡΙΠΟΙΗΤΩΙ P 19 ⟨δὲ⟩ *Mein*

ταύτην ἔκ του θεῶν κατεχομένην θεσπίζειν περὶ τῶν μελλόντων καὶ ἄλλως δὲ ἐπὶ συνέσει φρενῶν ἐπὶ μέγα διαβεβοῆσθαι. (2) ὁ οὖν Ἀλέξανδρος αὐτὴν ἀγαγόμενος παρὰ τοῦ πατρὸς εἰς τὴν Ἴδην, ὅπου αὐτῷ οἱ σταθμοὶ ἦσαν, εἶχε γυναῖκα καὶ αὐτῇ φιλοφρονούμενος * * * μηδαμὰ προλείψειν ἐν περισσοτέρᾳ τε τιμῇ ἄξειν· (3) ἡ δὲ συνιέναι μὲν ἔφασκεν εἰς τὸ παρὸν ὡς δὴ πάνυ αὐτῆς ἐρῴη· χρόνον μέντοι τινὰ γενήσεσθαι, ἐν ᾧ ἀπαλλάξας αὐτῆς εἰς τὴν Εὐρώπην περαιωθήσεται κἀκεῖ πτοηθεὶς ἐπὶ γυναικὶ ξένῃ πόλεμον ἐπάξεται τοῖς οἰκείοις. (4) ἐξηγεῖτο δὲ ὡς δεῖ αὐτὸν ἐν τῷ πολέμῳ τρωθῆναι καὶ ὅτι οὐδεὶς αὐτὸν οἷός τε ἔσται ὑγιῆ ποιῆσαι ἢ αὐτή. ἑκάστο|τε δὲ ἐπιλεγομένης αὐτῆς fol. 175v ⟨ταῦτα⟩ ἐκεῖνος οὐκ εἴα μεμνῆσθαι. χρόνου δὲ προϊόντος ἐπειδὴ Ἑλένην ἔγημεν, ἡ μὲν Οἰνώνη μεμφομένη τῶν πραχθέντων τὸν Ἀλέξανδρον εἰς Κεβρῆνα, ὅθενπερ ἦν γένος, ἀπεχώρησεν, ὁ δὲ παρήκοντος ἤδη τοῦ πολέμου διατοξευόμενος Φιλοκτήτῃ τιτρώσκεται. (5) ἐν νῷ δὲ λαβὼν τὸ τῆς Οἰνώνης ἔπος, ὅτε ἔφατο αὐτὸν πρὸς αὐτῆς μόνης οἷόν τε εἶναι ἰαθῆναι, κήρυκα πέμπει δεησόμενον, ὅπως ἐπειχθεῖσα ἀκέσηταί τε αὐτὸν καὶ τῶν παροιχομένων λήθην ποιήσηται, ἅτε δὴ κατὰ θεῶν βούλησιν [τε] ἀφικομένων. (6) ἡ δὲ αὐθαδέστερον ἀπε-

---

1 ἔκ του θεῶν P[1] *acc. sup.* ἐ *posuit* P[2] 5 *pro* αὐτῇ *ci.* αὐχεῖ *Bast post* φιλ. *excidisse verbum promittendi viderunt hom. dd.:* ⟨ὑπέσχετο⟩ *vel* ⟨ὑπέστη⟩ *Legr* ⟨ὤμοσε⟩ *Cob; sed rectius imperfecti forma reponetur ut* ἠγγύα *Jac vel* ὤμνυε *Zang* 6 μηδαμὰ *Pass:* μηδαμᾶι P περ. δὲ *malim* περ. τε ⟨ἀεὶ⟩ *Ro* ἕξειν *Cob (verum cf. Schweighaeuseri Lex. Herod. s. v.* ἄγειν *nr. 5)* 9 αὐτῆς *Ro:* αὐτὴν P 12 αὐτὸν *del. exist. G. Knaackius* 13 αὐτῆς ⟨ταῦτα⟩ *Zang, inseri volt* ⟨τὰ λοιπὰ⟩ *vel* ⟨τὰ ἑξῆς⟩ *verbo* ἐπιλ. *de conatu accepto Ro:* αὐτῆσ P 19 *an* ὅτι? 23 [τε] ἀφικομένων *Mein* γε ἀφικομένων *Legr* [τε] ἐξικομένων *Hey*

κρίνατο, ὡς χρὴ παρ' Ἑλένην αὐτὸν ἰέναι κἀκείνης δεῖσθαι· αὐτὴ δὲ μάλιστα ἠπείγετο, ἔνθα διεπέπυστο κεῖσθαι αὐτόν. τοῦ δὲ κήρυκος τὰ λεχθέντα παρὰ τῆς Οἰνώνης θᾶττον ἀπαγγείλαντος ἀθυμήσας ὁ Ἀλέξανδρος ἐξέπνευσεν. (7) *Οἰνώνη δὲ ἐπεὶ νέκυν ἤδη κατὰ γῆς κείμενον ἐλθοῦσα εἶδεν, ἀνῴμωξέ τε καὶ πολλὰ κατολοφυραμένη διεχρήσατο ἑαυτήν.*

V. Περὶ Λευκίππου.

Ἱστορεῖ Ἑρμησιάναξ Λεοντίῳ.

Λεύκιππος δέ, Ξανθίου παῖς, γένος τῶν ἀπὸ Βελλεροφόντου, διαφέρων ἰσχύϊ μάλιστα τῶν καθ' ἑαυτὸν ἤσκει τὰ πολεμικά. διὸ πολὺς ἦν λόγος περὶ αὐτοῦ παρά τε Λυκίοις καὶ τοῖς προσεχέσι τούτοις, ἅτε δὴ ἀγομένοις καὶ πᾶν ὁτιοῦν δυσχερὲς πάσχουσιν. (2) *οὗτος κατὰ μῆνιν Ἀφροδίτης εἰς ἔρωτα ἀφικόμενος τῆς ἀδελφῆς, τέως μὲν ἐκαρτέρει οἰόμενος ῥᾷστα ἀπαλλάξασθαι*

FAB. V. *cf. Conon. Narr. cap. XIX et schol. ad Apoll. Rhod. I 584; quibus adiungas inscriptionem de Magnesia condita publicatam ab O. Kernio in comm. Die Gründungsgesch. v. Magn. am Maiandr. (Berol. 1894) pg. 7 sqq. et in collect. inscript. Magn. (Berol. 1900) pg. 14 sqq. de fab. expos. Kernius l. pr. l. pg. 19 sqq. et Wilamowitzius Hermae vol. XXX (1895) pg. 182 sqq.*

---

ad Apollod. pg. 336 εἰς τοῦτό γ' ἀφικόμενον *Scaligerus:* τε ἀφικόμενον P αὐθαδ. ⟨μὲν⟩ *Ro et Zang*

2 ἔνθα διεπέπυστο *Ricc. Schulze (cf. pg. 45, 4)* ἔνθα [δὴ] ἐπέπυστο *Sak (cf. May pg. 53):* ἔνθα δὴ ἐπέπυστο P 6 εἶδεν *Pass:* ἴδεν P *(de quo fucato ionismo cf. praef. ad Ant. Lib. pg. LXIX sq.)* 9 Ἑρμησιάναξ] *Cf. Hermesian. rell. conl. Bachius (1829) pg. 180 sqq.* Λεοντίῳ *Gal:* ΛΕΟΝΤΙ P 14 ἀγομένοις ⟨καὶ φερομένοις⟩ *Cob* . 16 ῥᾷστα ἀπαλλάξεσθαι *Corn* ῥᾷστ' ἂν ἀπαλλάξασθαι *Zang* ῥᾷστα ἂν ἀπαλλάξασθαι *Ro (sed cf. Blum De Ant. Lib. [1892] pg. 13)*

τῆς νόσου. ἐπεὶ μέντοι χρόνου διαγενομένου οὐδὲ ἐπ' ὀλίγον ἐλώφα τὸ πάθος, ἀνακοινοῦται τῇ μητρὶ καὶ πολλὰ καθικέτευε, μὴ περιιδεῖν αὐτὸν ἀπολλύμενον· εἰ | γὰρ αὐτῷ μὴ συνεργήσειεν, ἀποσφάξειν αὐτὸν (fol. 176r) ἠπείλει. τῆς δὲ παραχρῆμα τὴν ἐπιθυμίαν φαμένης τελευτ⟨ήσ⟩ειν ῥᾴων ἤδη γέγονεν. (3) ἀνακαλεσαμένη δὲ τὴν κόρην συγκατακλίνει τἀδελφῷ. κἀκ τούτου συνῆσαν οὐ μάλα τινὰ δεδοικότες, ἕως τις ἐξαγγέλλει τῷ κατεγγυημένῳ τὴν κόρην μνηστῆρι. ὁ δὲ τόν τε αὑτοῦ πατέρα παραλαβὼν καί τινας τῶν προσηκόντων πρόσεισι τῷ Ξανθίῳ καὶ τὴν πρᾶξιν καταμηνύει μὴ δηλῶν τοὔνομα τοῦ Λευκίππου. (4) Ξάνθιος δὲ δυσφορῶν ἐπὶ τοῖς προσηγγελμένοις πολλὴν σπουδὴν ἐτίθετο φωρᾶσαι τὸν φθορέα καὶ διεκελεύσατο τῷ μηνυτῇ, ὁπότε ἴδοι συνόντας, αὐτῷ δηλῶσαι. τοῦ δὲ ἑτοίμως ὑπακούσαντος καὶ αὐτίκα τὸν πρεσβύτην ἐπαγομένου τῷ θαλάμῳ, ἡ παῖς αἰφνιδίου ψόφου γενηθέντος ἵετο διὰ θυρῶν οἰομένη λήσεσθαι τὸν ἐπιόντα. καὶ αὐτὴν ὁ πατὴρ ὑπολαβὼν εἶναι τὸν φθορέα πατάξας μαχαίρᾳ καταβάλλει. (5) τῆς δὲ περιωδύνου γενομένης καὶ ἀνακραγούσης ὁ Λεύκιππος ἐπαμύνων αὐτῇ καὶ διὰ τὸ ἐκπεπλῆχθαι μὴ προϊδόμενος, ὅστις ἦν, κατακτείνει τὸν πατέρα. δι' ἣν αἰτίαν ἀπολιπὼν τὴν οἰκείαν Θετταλοῖς [ἐπὶ] τοῖς συμβεβηκόσιν εἰς Κρήτην ἡγήσατο. κἀ-

6 τελευ⟨τή⟩σειν *scripsi* τελέσειν *Legr*: τελεύτειν P ἐγεγόνει *Zang* 8 συνῆσαν ⟨ἀλλήλοις⟩ *Ro* 9 κατηγγυημένῳ *Legr (sed cf. Lob. ad Phryn. pg. 155)* 10 αὑτοῦ *Pass*: αὐτοῦ P 15 εἰδείη *Jac* 16 ἐπαγ⟨αγ⟩ομένου *Her* 17 γε////νηθέντοσ (ν *eras.*) P 18 ⟨τῶν⟩ θυρῶν *Legr (sed cf. Herod.* I 9; II 121, 5) 22 προϊδόμενος *Pass*: προειδόμενοσ P 23 οἰκείαν *Ro et Wilamowitzius l. s. l. pg. 183 not.*: οἰκίαν P 24 [ἐπὶ] τοῖς συμβ. *Ro (cf. fab. IX § 1); hic locus quanto opere a viris doctis vexatus sit dici vix potest.*

κεῖθεν ἐξελαθεὶς ὑπὸ τῶν προσοίκων εἰς τὴν Ἐφεσίαν ἀφίκετο, ἔνθα χωρίον ᾤκησε τὸ Κρητιναῖον ἐπικληθέν. (6) *τοῦ δὲ Λευκίππου τούτου λέγεται τὴν Μανδρολύτου θυγατέρα Λευκοφρύην ἐρασθεῖσαν προδοῦναι τὴν πόλιν τοῖς πολεμίοις, ὧν ἐτύγχανεν ἡγούμενος ὁ Λεύκιππος, ἑλομένων αὐτὸν κατὰ θεοπρόπιον τῶν δεκατευθέντων ἐκ Φερῶν ὑπ' Ἀδμήτου.*

VI. Περὶ Παλλήνης.

Ἱστορεῖ Θεαγένης καὶ Ἡγήσιππος ἐν Παλληνιακοῖς.

Λέγεται ⟨δὲ⟩ καὶ Σίθωνα, τὸν Ὀδομάντων βασιλέα,
fol. 176v *γεννῆσαι θυγατέρα | Παλλήνην, καλήν τε καὶ ἐπίχαριν, καὶ διὰ τοῦτο ἐπὶ πλεῖστον χωρῆσαι κλέος αὐτῆς φοιτᾶν τε μνηστῆρας οὐ μόνον ἀπ' αὐτῆς Θρᾴκης, ἀλλὰ καὶ ἔτι πρόσωθέν τινας, ἀπό τε Ἰλλυρίδος ⟨καὶ⟩ τῶν ἐπὶ Ταναΐδος ποταμοῦ κατῳκημένων.* (2) *τὸν δὲ Σίθωνα πρῶτον μὲν κελεύειν τοὺς ἀφικνουμένους*

FAB. VI. *Cf. Conon. Narr. cap. X, Hegesippum et Theagenem ap. Steph. s. v. Παλλήνη, Tzetz. ad Lycophr. v. 583 et 1161, Nonni Dionys. XLVIII v. 90 sqq. de narr. disp. Hoefer. Konon. pg. 53 proxx.*

2 *ᾤκισε Gal* 4 *Λευκοφρύνην Hey et Kernius D. Gruend. v. Magn. pg. 22 (verum vide Wilamowitzium l. l. pg. 184)* 7 *Φηρῶν Kernius l. l. pg. 20* 9 *Θεαγένης rest. Gal ex Steph. Byz. l. l.:* ΔΙΟΓΈΝΗϹ P *Θεαγ. καὶ Ἡγήσ.] cf. Muelleri Frag. Hist. Gr. IV 423 et 510* 10 *λέγεται ⟨δὲ⟩ Mein* *Σίθωνα hic et infra Mein (cf. Herod. techn. rell. ed. Lentz. II 732, 12): σίθονα, ο ex ω fec.* P^1 11 *τε Legr: δὲ* P 12 *⟨τὸ⟩ κλέος Her* 13 *αὐτῆς ⟨τῆς⟩ Cob* 14 *⟨καὶ⟩ τῶν Corn* 15 *κατωικημένων, η in ras.* P^1 16 *σίθονα* P

μνηστῆρας πρὸς μάχην ἰέναι τὴν κόρην ἔχοντα, εἰ δὲ ἥττων φανείη, τεθνάναι. τούτῳ τε τῷ τρόπῳ πάνυ συχνοὺς ἀνῃρήκει. (3) μετὰ δέ, ὡς αὐτόν τε ἡ πλείων ἰσχὺς ἐπιλελοίπει ἔγνωστό τε αὐτῷ τὴν κόρην ἁρμόσασθαι, δύο μνηστῆρας ἀφιγμένους, Δρύαντά τε καὶ Κλεῖτον, ἐκέλευεν ἄθλου προκειμένου τῆς κόρης ἀλλήλοις διαμάχεσθαι· καὶ τὸν μὲν τεθνάναι, τὸν δὲ περιγενόμενον τήν τε βασιλείαν καὶ τὴν παῖδα ἔχειν. (4) τῆς δὲ ἀφωρισμένης ἡμέρας παρούσης ἡ Παλλήνη (ἔτυχε γὰρ ἐρῶσα τοῦ Κλείτου) πάνυ ὀρρώδει περὶ αὐτοῦ. καὶ σημῆναι μὲν οὐκ ἐτόλμα τινὶ τῶν ἀμφ' αὐτήν, δάκρυα δὲ πολλὰ ἐχεῖτο τῶν παρειῶν αὐτῆς, ἕως ὅτε ⟨ὁ⟩ τροφεὺς αὐτῆς πρεσβύτης ἀναπυνθανόμενος καὶ ἐπιγνοὺς τὸ πάθος τῇ μὲν θαρρεῖν παρεκελεύσατο, ὡς ᾗ βούλεται ταύτῃ τοῦ πράγματος χωρήσοντος, αὐτὸς δὲ κρύφα ὑπέρχεται τὸν ἡνίοχον τοῦ Δρύαντος καὶ αὐτῷ χρυσὸν πολὺν ὁμολογήσας πείθει διὰ τῶν ἁρματηγῶν τροχῶν μὴ διεῖναι τὰς περόνας. (5) ἔνθα δὴ ὡς ἐς μάχην ἐξῄεσαν καὶ ἤλαυνεν ὁ Δρύας ἐπὶ τὸν Κλεῖτον, [καὶ] οἱ τροχοὶ περιερρύησαν αὐτῷ τῶν ἁρμάτων καὶ οὕτως πεσόντα αὐτὸν ἐπιδραμὼν ὁ Κλεῖτος ἀναιρεῖ. (6) αἰσθόμενος δὲ ὁ Σίθων

1 *post verba* πρ. μάχ. ἰέναι *plerique viri dd. lacunam esse censuere; locum intactum esse docuit Ritschelius Opusc. philol. vol. I pg. 798 not.* 3 [τε] *Mein (sed vide May pg. 56)* 4 ἐπελελοίπει *Legr (sed cf. May pg. 27)* ⟨γάμοις⟩ ἁρμόσασθαι *Mein* 10 ὠρρώδει *Legr (at vid. v. 4)* 12 αὐτήν *Legr*: αὐτὸν P κατεχεῖτο *Cob (verum cf. May pg. 33)* 13 ἕως [ὅτε] *Hir* ἕως οὗ *Her (sed v. May pg. 50)* ⟨ὁ⟩ τρ. *Hir*: τρ. P [πρεσβύτης] *Zang* 15 χωρήσοντοσ, ο *prius ex* α *fec.* P[1] 18 [διὰ] τ. ἁρμ. τρ. *Legr* πρὸ τ. ἁρματηρῶν τρ. *Schneiderus* διὰ τ. ἁρματηίων τρ. *Mein* διὰ τ. ἁρματίνων τρ. *Ro (cf. Apoll. Soph. pg. 59, 16 B.)* διεῖραι *Schneiderus* 19 εἰς *Her* 20 [καὶ] *Mein*

τόν τε ἔρωτα καὶ τὴν ἐπιβουλὴν τῆς θυγατρός, μάλα μεγάλην πυρὰν νήσας, καὶ ἐπιθεὶς τὸν Δρύαντα οἷός fol. 177[r] *τε ἦν ἐπισφάζειν καὶ τὴν Παλλήνην.* | *φαντάσματος δὲ θείου γενομένου καὶ ἐξαπιναίως ὕδατος ἐξ οὐρανοῦ πολλοῦ καταρραγέντος μετέγνω τε καὶ γάμοις ἀρεσάμενος τὸν παρόντα Θρᾳκῶν ὅμιλον ἐφίησι τῷ Κλείτῳ τὴν κόρην ἄγεσθαι.*

VII. Περὶ Ἱππαρίνου.

Ἱστορεῖ Φανίας ὁ Ἐρέσιος.

Ἐν δὲ τῇ Ἰταλῇ Ἡρακλείᾳ παιδὸς διαφόρου τὴν ὄψιν (Ἱππαρῖνος [ἦν] αὐτῷ ὄνομα τῶν πάνυ δοκίμων) Ἀντιλέων ἠράσθη· ὃς πολλὰ μηχανώμενος οὐδαμῇ δυνατὸς ἦν αὐτὸν ἁρμόσασθαι, περὶ δὲ γυμνάσια διατρίβοντι πολλὰ τῷ παιδὶ προσρυεὶς ἔφη τοσοῦτον αὐτοῦ πόθον ἔχειν, ὥστε πάντα πόνον ⟨ἂν⟩ ἀνατλῆναι, καὶ ὅ τι ἂν κελεύοι, μηδενὸς αὐτὸν ἁμαρτήσεσθαι. (2) *ὁ δὲ ἄρα κατειρωνευόμενος προσέταξεν αὐτῷ ἀπό τινος ἐρυμνοῦ χωρίου, ὃ μάλιστα ἐφρουρεῖτο ὑπό του τῶν*

FAB. VII. *Cf. Plut. Amat. XVI 26 sqq. et Aelian. frg. 154 H. ([Arist.] Eth. Eudem. III 1 pg. 1229 a 21 sqq.).*

2 *οἷός τε ἦν ἐπισφάζειν dedi οἷος ἦν ἐπικατασφάξειν Her οἷός τε ἦν ἐπισφάξειν Ro (cf. May pg. 15 inf.) οἷός τ' ἦν συνεπισφάζειν Zang: οιστεοσιν ἐπισφάξειν* P[1] *ᾤετο συνεπισφάξειν corr.* P[2] *(qua de corr. v. Hercheri praef. pg. VII)* 3 *δὲ in ras.* P[2] 9 *Φανίας*] *Cf. Muelleri Frag. Hist. Gr. II 298 sqq.* 10 *Ἰταλικῇ Hey* 11 [*ἦν*] *Mein* 14 [*πολλὰ*] *Her τὰ πολλὰ Zang ποτε Ro possis πολλά⟨κις⟩ προσφυεὶς Legr (sed iure codicis* P *lectionem defendit G. Knaackius cl. Plut. Brut. XVI 1, Long. Past. IV 9, Luc. Amor. 8)* 15 *⟨ἂν⟩ ἀνατλῆναι Ro et Zang ἂν τλῆναι Mein: ἀνατλῆναι* P 16 *κελεύῃ Mein (sed v. May pg. 50)* 18 *ὑπὸ τοῦ τῶν Ἡ. τ. Gal; an ὑπὸ τῶν*

Ἡρακλεωτῶν τυράννου, τὸν κώδωνα κατακομίσαι, πειθόμενος μὴ ἄν ποτε τελέσειν αὐτὸν τόνδε τὸν ἆθλον. (2) *Ἀντιλέων δὲ κρύφα τὸ φρούριον ὑπελθὼν καὶ λοχήσας τὸν φύλακα τοῦ κώδωνος κατακαίνει. καὶ ἐπειδὴ ἀφίκετο πρὸς τὸ μειράκιον ἐπιτελέσας τὴν ὑπόσχεσιν, ἐν πολλῇ αὐτῷ εὐνοίᾳ ἐγένετο καὶ ἐκ τοῦδε μάλιστα ἀλλήλους ἐφίλουν.* (3) *ἐπεὶ δὲ ὁ τύραννος τῆς ὥρας ἐγλίχετο τοῦ παιδὸς καὶ οἷός τε ἦν αὐτὸν βίᾳ ἄγεσθαι, δυσανασχετήσας ὁ Ἀντιλέων ἐκείνῳ μὲν παρεκελεύσατο μὴ ἀντιλέγειν κινδυνεύειν, αὐτὸς δὲ οἴκοθεν ἐξιόντα τὸν τύραννον προσδραμὼν ἀνεῖλεν.* (4) *καὶ τοῦτο δράσας δρόμῳ ἵετο καὶ διέφυγεν ἄν, εἰ μὴ προβάτοις συνδεδεμένοις ἀμφιπεσὼν ἐχειρώθη· διὸ τῆς πόλεως εἰς τἀρχαῖον ἀποκαταστάσης ἀμφοτέροις παρὰ τοῖς Ἡρακλεώταις ἐτέθησαν εἰκόνες χαλκαῖ καὶ νόμος ἐγράφη μηδένα ἐλαύνειν τοῦ λοιποῦ πρόβατα συνδεδεμένα.*

VIII. Περὶ Ἡρίππης.

Ἱστορεῖ Ἀριστόδημος ὁ Νυσαεὺς ἐν ᾱ Ἱστοριῶν περὶ τούτων, πλὴν ὅτι τὰ ὀνόματα ὑπαλλάττει ἀντὶ Ἡρίππης καλῶν Εὐθυμίαν, τὸν δὲ βάρβαρον Καυάραν.

Ὅτε δὲ οἱ | Γαλάται κατέδραμον τὴν Ἰωνίαν καὶ fol. 177v *τὰς πόλεις ἐπόρθουν, ἐν Μιλήτῳ Θεσμοφορίων ὄντων*

τοῦ Ἡ. τ.? cet. adscripsit in marg. τοῦ ἀρχελάου P[1], *quod Mein in textum recipere non est gravatus*
1 *κατακομί//////σαι* P[1] *(fuit videlicet κατακομίσασθαι)* 2 *ἄν π. τελέσαι Schneiderus* [*ἄν*] *π. τελέσειν Cob (sed cf. cap. I § 3)* 3 *ὑπεισελθὼν Legr* 8 *οἷός* [*τε*] *Cob (sed cf. May pg. 50)* 9 *βίᾳ προσάγεσθαι Her βιάζεσθαι Cob* 10 *ἀντιλέγοντα κινδυνεύειν Scaligerus* 19 *Ἀριστόδημος*] *Cf. Muelleri Frag. Hist. Gr.*

καὶ συνηθροισμένων ⟨τῶν⟩ γυναικῶν ἐν τῷ ἱερῷ, ὃ βραχὺ τῆς πόλεως ἀπέχει, ἀποσπασθέν τι μέρος τοῦ βαρβαρικοῦ διῆλθεν εἰς τὴν Μιλησίαν καὶ ἐξαπιναίως ἐπιδραμὸν ἀνεῖλεν τὰς γυναῖκας. (2) *ἔνθα δὴ τὰς μὲν ἐρρύσαντο πολὺ ἀργύριόν τε καὶ χρυσίον ἀντιδόντες, τινὲς δὲ τῶν βαρβάρων αὐταῖς οἰκειωθέντων ἀπήχθησαν, ἐν δὲ αὐταῖς καὶ Ἡρίππη, γυνὴ ἡ Ξάνθου, ἀνδρὸς ἐν Μιλήτῳ πάνυ δοκίμου γένους τε τοῦ πρώτου, παιδίον ἀπολιποῦσα διετές.* (3) *ταύτης πολὺν πόθον ἔχων ὁ Ξάνθος ἐξηργυρίσατο μέρος τῶν ὑπαργμάτων καὶ κατασκευασάμενος χρυσοῦς ⟨δισ⟩χιλίους τὸ μὲν πρῶτον εἰς Ἰταλίαν ἐπεραιώθη, ἐντεῦθεν δὲ ὑπὸ ἰδιοξένων τινῶν κομιζόμενος εἰς Μασσαλίαν ἀφικνεῖται κἀκεῖθεν εἰς τὴν Κελτικήν.* (4) *καὶ προσελθὼν τῇ οἰκίᾳ, ἔνθα αὐτοῦ συνῆν ἡ γυνὴ ἀνδρὶ τῶν μάλιστα παρὰ Κελτοῖς δοξαζομένων, ὑποδοχῆς ἐδεῖτο τυχεῖν. τῶν δὲ διὰ φιλοξενίαν ἑτοίμως αὐτὸν ὑποδεξαμένων εἰσελθὼν ὁρᾷ τὴν γυναῖκα, καὶ αὐτὸν ἐκείνη τὼ χεῖρε ἀμφιβαλοῦσα μάλα φιλοφρόνως προσηγάγετο.* (5) *παραχρῆμα δὲ τοῦ Κελτοῦ παραγενομένου διεξῆλθεν αὐτῷ τήν τε ἄλην τἀνδρὸς ἡ Ἡρίππη καὶ ὡς αὐτῆς ἕνεκα [καὶ] ἥκοι λύτρα καταθησόμενος. ὁ δὲ ἠγάσθη τῆς ψυχῆς τὸν Ξάνθον καὶ αὐτίκα συνουσίαν ποιησάμενος τῶν μάλιστα προσηκόντων ἐξένιζεν αὐτόν. παρατείνοντος δὲ τοῦ πότου τὴν γυναῖκα συγκατακλίνει αὐτῷ*

III 307 p. 53, 21 *Εὐθυμίαν L. Dindorfius in Steph. thes. s. v. Γυθ.*: ΓΥΘΥΜΊΑΝ P
1 ⟨*τῶν*⟩ *γυναικῶν Schneiderus* 4 *εἷλε Legr συνεῖλε Ro et Zang (sed nil mutandum: cf. Astii lex. Plat. s. v. ἀναιρεῖν et nostr. cap. XXV § 2)* 5 *ἐρρύσαντο Her: ἐρύσαντο, ἐ in ras.* P[1] 7 *γυνὴ ἣν Ξ. Legr γυνὴ* [*ἡ*] *Ξ. West*

καὶ δι' ἑρμηνέως ἐπυνθάνετο, πηλίκην οὐσίαν εἴη κεκτη|μένος fol. 178r *τὴν σύμπασαν· τοῦ δὲ εἰς ἀριθμὸν χιλίων χρυσῶν φήσαντος ὁ βάρβαρος εἰς τέσσαρα μέρη κατανέμειν αὐτὸν ἐκέλευε καὶ τὰ μὲν τρία ὑπεξαιρεῖσθαι αὐτῷ, γυναικί, παιδίῳ, τὸ δὲ τέταρτον ἀπολείπειν ἄποινα τῆς γυναικός.* (6) *ὡς δὲ ἐς κοῖτον τότε ἀπετράποντο, πολλὰ κατεμέμφετο τὸν Ξάνθον ἡ γυνὴ διὰ τὸ μὴ ἔχοντα τοσοῦτο χρυσίον ὑποσχέσθαι τῷ βαρβάρῳ· κινδυνεύσειν τε αὐτόν, εἰ μὴ ἐμπεδώσειε τὴν ἐπαγγελίαν.* (7) *τοῦ δὲ φήσαντος, ἐν ταῖς κρηπῖσι τῶν παίδων καὶ ἄλλους τινὰς χιλίους χρυσοῦς κεκρύφθαι διὰ τὸ μὴ ἐλπίζειν ἐπιεικῆ τινα βάρβαρον καταλήψεσθαι, δεήσειν δὲ πολλῶν λύτρων, ἡ γυνὴ τῇ ὑστεραίᾳ τῷ Κελτῷ καταμηνύει τὸ πλῆθος τοῦ χρυσοῦ καὶ παρεκελεύετο κτεῖναι τὸν Ξάνθον φάσκουσα πολὺ μᾶλλον αἱρεῖσθαι αὐτὸν τῆς τε πατρίδος καὶ τοῦ παιδίου· τὸν μὲν γὰρ Ξάνθον παντάπασιν ἀποστυγεῖν.* (8) *τῷ δὲ ἄρα οὐ πρὸς ἡδονῆς ἦν τὰ λεχθέντα· ἐν νῷ δὲ εἶχεν αὐτὴν τίσασθαι. ἐπειδὴ δὲ ὁ Ξάνθος ἐσπούδαζεν ἀπιέναι, μάλα φιλοφρόνως προὔπεμπεν ὁ Κελτὸς ἐπαγόμενος καὶ τὴν Ἡρίππην. ὡς δὲ ἐπὶ τοὺς ὅρους τῆς Κελτῶν χώρας ἀφίκοντο, θυσίαν ὁ βάρβαρος ἔφη τελέσαι βούλεσθαι, πρὶν αὐτοὺς ἀπ' ἀλλήλων χωρισθῆναι.* (9) *καὶ κομισθέντος ἱερείου τὴν Ἡρίππην ἐκέλευεν ἀντιλαβέσθαι· τῆς δὲ κατασχούσης, ὡς καὶ ἄλλοτε σύνηθες αὐτῇ, ἐπανατεινάμενος τὸ ξίφος καθικνεῖται καὶ τὴν*

---

p. 54, 11 ⟨δισ⟩χιλίους *Pass*: χιλίουσ P 20 διεξῆλθεν, ιε *in ras* P² 22 [καὶ] *Bast* 24 προηκόντων *dubito an recte Zang* 5 αὐτῷ *Corn*: αὐτῶι P 6 εἰς *Corn* τότε *Mein*: ποτε P ἀπετράποντο *Her*: ἀπετράπετο P 9 ἐμπεδώσει *Cob* 12 ⟨οὕτως⟩ ἐπιεικῆ *Ro pro* τινα *ci.* τὸν *Her* 18 ἡδονὴν *Her (cf. tamen May pg. 37)* 22 ἀφίκοντο *Hir*: ἀφίκετο P

κεφαλὴν αὐτῆς ἀφαιρεῖ τῷ τε Ξάνθῳ παρεκελεύετο μὴ δυσφορεῖν ἐξαγγείλας τὴν ἐπιβουλὴν αὐτῆς ἐπέτρεπέ τε τὸ χρυσίον ἅπαν κομίζειν αὐτῷ.

fol. 178v

IX. Περὶ Πολυκρίτης.

Ἡ ἱστορία αὕτη ἐλήφθη ἐκ τῆς ᾱ Ἀνδρίσκου Ναξιακῶν· γράφει περὶ αὐτῆς καὶ Θεόφραστος ἐν τῷ δ̄ ⟨τῶν⟩ πρὸς τοὺς καιρούς.

Καθ' ὃν δὲ χρόνον ἐπὶ Ναξίους Μιλήσιοι συνέβησαν σὺν ἐπικούροις καὶ τεῖχος πρὸ τῆς πόλεως ἐποικοδομησάμενοι τήν τε χώραν ἔτεμνον καὶ καθείρξαντες τοὺς Ναξίους ἐφρούρουν, τότε παρθένος ἀπολειφθεῖσα κατά τινα δαίμονα ἐν Δηλίῳ ἱερῷ, ὃ πλησίον τῆς πόλεως κεῖται (Πολυκρίτη ὄνομα αὐτῇ) τὸν τῶν Ἐρυθραίων ἡγεμόνα Διόγνητον εἷλεν, ὃς οἰκείαν δύναμιν ἔχων συνεμάχει τοῖς Μιλησίοις. (2) *πολλῷ δὲ ἐνεχόμενος πόθῳ διεπέμπετο πρὸς αὐτήν· οὐ γὰρ δή γε θεμιτὸν ἦν ἱκέτιν οὖσαν ἐν τῷ ἱερῷ βιάζεσθαι. ἡ δὲ ἕως μέν τινος οὐ προσίετο τοὺς παραγινομένους· ἐπεὶ μέντοι πολὺς ἐνέκειτο, οὐκ ἔφη πεισθήσεσθαι αὐτῷ, εἰ μὴ ὀμόσειεν ὑπηρετήσειν αὐτῇ, ὅ τι ἂν*

FAB. IX. *Cf. Plut. De mul. virt. XVII (pg. 254 F), Polyaen. Strat. VIII 36, Gellii Noct. Att. III 15, 1. de fab. discept. Duemmlerus Mus. Rhen. vol. XLII (1887) pg. 180 sqq. accuratius rem se brevi tractaturum promittit G. Knaackius.*

---

p. 55, 25 *σύνηθες ⟨ἦν⟩ Legr* 26 *an pronomen αὐτῆς (pg. 56, 1) post καθικνεῖται transponendum?*

1 *δὲ Sak* 3 *αὐτῷ Mein: αὐτῶι* P 5 *Ἀνδρίσκου*] *Cf. Muelleri Frag. Hist. Gr. IV 302 sqq.* 6 *Θεόφραστος*] *Cf. Schneideri ed. op. Theophr. V 210 sqq.* *⟨τῶν⟩ Legr* 8 *μετέβησαν vel κατέβησαν Legr ἐπεξῄεσαν Hey ἔβησαν Her* 10 *ἐποικοδομησάμενοι Legr: ἐνοικοδομησάμενοι* P 11 *ἀποληφθεῖσα Mein* 16 *συνεχόμενος Cob* 20 *ὑπηρετήσειν Gal: ὑπηρετήσειεν* P

βουληθῇ. (3) *ὁ δὲ Διόγνητος οὐδὲν ὑποτοπήσας τοιόνδε μάλα προθύμως ὤμοσεν Ἄρτεμιν χαριεῖσθαι αὐτῇ, ὅ τι ἂν προαιρῆται. κατομοσαμένου δὲ ἐκείνου καὶ λαβομένη τῆς χειρὸς αὐτοῦ ἡ Πολυκρίτη μιμνήσκεται περὶ προδοσίας τοῦ χωρίου καὶ πολλὰ καθικετεύει αὐτήν τε οἰκτείρειν καὶ τὰς συμφορὰς τῆς πόλεως.* (4) *ὁ* ⟨*δὲ*⟩ *Διόγνητος ἀκούσας τοῦ λόγου ἐκτός τε ἐγένετο αὑτοῦ καὶ σπασάμενος τὴν μάχαιραν ὥρμησε διεργάσασθαι τὴν κόρην. ἐν νῷ μέντοι λαβὼν τὸ εὔγνωμον αὐτῆς καὶ ἅμα ὑπ' ἔρωτος κρατούμενος (ἔδει γάρ, ὡς ἔοικε,* [*καὶ*] *Ναξίοις μεταβολὴν γενέσθαι τῶν παρόντων κακῶν τότε μὲν οὐδὲν ἀπεκρίνατο βουλευόμενος τί ποιητέον εἴη· τῇ δ' ὑστεραίᾳ καθωμολογήσατο προδώσειν.* (5) *καὶ ἐν τῷ δὴ τοῖς Μιλησίοις ἑορτὴ μετὰ τρίτην ἡμέραν Θαργήλια ἐπῄει, ἐν ᾗ πολύν τε ἄκρατον εἰσφοροῦνται καὶ τὰ πλείστου ἄξια καταναλίσκουσι· τότε παρεσκευά|ζετο προδιδόναι τὸ χωρίον.* fol. 179r *καὶ εὐθέως διὰ τῆς Πολυκρίτης ἐνθέμενος εἰς ἄρτον μολυβδίνην ἐπιστολὴν* ⟨*ἐπιστέλλει*⟩ *τοῖς ἀδελφοῖς αὐτῆς (ἐτύγχανον δὲ ἄρα τῆς πόλεως ἡγεμόνες οὗτοι), ὅπως εἰς ἐκείνην τὴν νύκτα παρασκευασάμενοι ἥκωσιν· σημεῖον δὲ αὐτοῖς ἀνασχήσειν αὐτὸς ἔφη λαμπτῆρα.* (6) *Καὶ ἡ Πολυκρίτη δὲ τῷ κομίζοντι τὸν ἄρτον φρά-*

---

2 [τοιόνδε] *Her Hermae vol. XII (1877) pg. 146 (sed iure defenditur a May pg. 43 not. et Zang)* 4 [καὶ] λαβομένη *Bast* ἐπιλαβομένη *exstirpato* καὶ *Legr* 5 καθικετεύει *Legr*: καθικετεύειν P 7 ⟨δὲ⟩ *Mein* 11 [καὶ] *Her* 14 καὶ ἐν τούτῳ *Schneiderus* κἂν τῷδε *Her (sed cf. May pg. 40)* 15 ⟨τὴν⟩ τρίτην *Sak* 16 ἐμφοροῦνται *Lennep. ad Phal. pg. 27* 17 τότε ⟨οὖν⟩ *Schneiderus* τότε ⟨δὴ⟩ *Mein* τότε ⟨ἄρα⟩ *mihi magis placet propter inseq.* παρ- 19 ⟨ἐπιστέλλει⟩ *vel* ⟨σημαίνει⟩ *Legr* 20 ἡγεμόνες ⟨ὄντες⟩ *Hir* 21 *an* παρεσκευασμένοι?

ζειν ἐκέλευε τοῖς ἀδελφοῖς μὴ ἐνδοιασθ⟨ῆν⟩αι ὡς τῆς πράξεως ἐπὶ τέλος ἀχθησομένης, εἰ μὴ ἐκεῖνοι ἐνδοιασθεῖεν. τοῦ δὲ ἀγγέλου ταχέως εἰς τὴν πόλιν ἐλθόντος Πολυκλῆς, ὁ τῆς Πολυκρίτης ἀδελφός, ἐν πολλῇ φροντίδι ἐγίνετο, εἴτε πεισθείη τοῖς ἐπεσταλμένοις εἴτε μή. (7) *τέλος δέ, ὡς ἐδόκει πᾶσι πείθεσθαι καὶ νὺξ ἐπῆλθεν, ἐν ᾗ προσετέτακτο πᾶσι παραγίνεσθαι, πολλὰ κατευξάμενοι τοῖς θεοῖς, δεχομένων αὐτοὺς τῶν ἀμφὶ Διόγνητον, ἐσπίπτουσιν εἰς τὸ τεῖχος τῶν Μιλησίων οἱ μέν τινες κατὰ τὴν ἀνεῳγμένην πυλίδα, οἱ δὲ καὶ τὸ τεῖχος ὑπερελθόντες ἀθρόοι τε ἐντὸς γενόμενοι κατέκαινον τοὺς Μιλησίους.* (8) *ἔνθα δὴ κατ' ἄγνοιαν ἀποθνῄσκει καὶ Διόγνητος. τῇ δ' ἐπιούσῃ οἱ Νάξιοι πάντες πολὺν πόθον εἶχον ἱλάσασθαι τὴν κόρην. καὶ οἱ μέν τινες αὐτὴν μίτραις ἀνέδουν, οἱ δὲ ζώναις· αἷς βαρηθεῖσα ἡ παῖς διὰ πλῆθος τῶν ἐπιρριπτουμένων ἀπεπνίγη. καὶ αὐτὴν δημοσίᾳ θάπτουσιν ἐν τῷ πεδίῳ †πάντα ἑκατὸν ἐναγίσαντες αὐτῇ. φασὶ δέ τινες καὶ Διόγνητον ἐν τῷ αὐτῷ καῆναι, ἐν ᾧ καὶ ἡ παῖς, σπουδασάντων Ναξίων.*

---

1 *ἐνδοιασθ⟨ῆν⟩αι Pass ἐνδοιάσασθαι Legr: ἐνδοιᾶσθαι, οι in ras.* P¹ 7 *[πᾶσι] Her* 8 *⟨εἰσ⟩δεχομένων Cob* 10 *κατὰ [τὴν] Corn κατά τιν' Zang* 14 *ἱλάσασθαι Mein et O. Rossbachius Annal. philol. vol. CXLIII (1891) pg. 94 θεάσασθαι Gal ἀσπάσασθαι Legr ταινιάσασθαι vel ταινιάσαι Kayserus: βιάσασθαι* P 15 *τινες Her: τισιν* P *pro ζώναις (non pro μίτραις) scr. volt ταινίαις Jac* 16 *διὰ ⟨τὸ⟩ πλῆθος Her [διὰ — ἐπιρριπτουμένων] Ro* 17 *ἀπεπνίγη* ÷ ÷, *η* ÷ ÷ *in ras* P¹ *margini libr. adscr. ση* 18 *πάντα procul dubio corruptum; numerus ἑκατὸν neutiquam infestandus; delitescit in illo vocabulo nomen bestiarum in honorem Polycritae mactatarum. probabiliter ci. πρόβατα Ro* 20 *⟨τῶν⟩ Ναξ. Cob*

X. Περὶ Λευκώνης.

Οὐ.

Ἐν δὲ Θεσσαλίᾳ Κυάνιππος, υἱὸς Φάρακος, μάλα καλῆς παιδὸς εἰς ἐπιθυμίαν Λευκώνης | ἐλθὼν παρὰ fol. 179v τῶν πατέρων αἰτησάμενος αὐτὴν ἠγάγετο γυναῖκα. ἦν δὲ φιλοκύνηγος· μεθ' ἡμέραν μὲν ἐπί τε λέοντας καὶ κάπρους ἐφέρετο, νύκτωρ δὲ κατήει πάνυ κεκμηκὼς πρὸς τὴν κόρην, ὥστε μηδὲ διὰ λόγων ἔσθ' ὅτε γενόμενος αὐτῇ ἐς βαθὺν ὕπνον καταφέρεσθαι. (2) ἡ δ' ἄρα ὑπό τε ἀνίας καὶ ἀλγηδόνων συνεχομένη ἐν πολλῇ ἀμηχανίᾳ ἦν σπουδήν τε ἐποιεῖτο κατοπτεῦσαι τὸν Κυάνιππον, ὅ τι ποιῶν ἥδοιτο τῇ κατ' ὄρος διαίτῃ. αὐτίκα δὲ εἰς γόνυ ζωσαμένη κρύφα τῶν θεραπαινίδων εἰς τὴν ὕλην καταδύνει. (3) αἱ δὲ τοῦ Κυανίππου κύνες ἐδίωκον μὲν ἔλαφον· οὖσαι δὲ οὐ πάνυ κτίλοι,

---

FAB. X. *Cf. [Plut.] Parall. min. XXI (vol. II pg. 368, 23 sqq. B.):* Κυάνιππος, τῷ γένει Θετταλός, ἐπὶ θήραν συνεχῶς ἐξῄει· ἡ δὲ νεόνυμφος αὐτοῦ ὑπολαβοῦσα διὰ τὸ πολλάκις ἐν ὕλαις μένειν συνήθειαν ἔχειν μεθ' ἑτέρας κατ' ἴχνος ἠκολούθησε τῷ Κυανίππῳ· καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ τὸ μέλλον ἀπεκαραδόκει. τῶν δὲ κλάδων σεισθέντων οἱ κύνες θηρίον εἶναι δόξαντες ὥρμησαν καὶ τὴν φίλανδρον ἀλόγου δίκην ζῴου διεσπάραξαν. ὁ δὲ Κυάνιππος ⟨τῆς *add. Her*⟩ ἀνελπίστου πράξεως αὐτόπτης γενόμενος ἑαυτὸν ἀπέσφαξεν· ὡς Π α ρ θ έ ν ι ο ς ὁ π ο ι η τ ή ς. *hanc narrationem isdem ferme verbis expressam sed pleniorem sub nomine Sostrati* (ἐν β̄ Κυνηγετικῶν) *expromit Stob. Florileg. LXIV 34 (quo de dissensu cf. Hercheri praef. ad [Plut.] De fluv. pg. 18). vide etiam Anonym. ap. West. Myth. pg. 348, 11—15 (qui ipse quoque pleniore textu usus est).*

---

4 Λευκ. εἰς ἐπ. ἐλθ. *Hir* 6 ⟨καὶ⟩ μεθ' ἡμ. *Mein (sed cf. May pg. 54)* 8 γενόμενος *dedi* γιγνόμενος *Stegmannus Annal. philol. vol. CXXXI (1885) pg. 187 not. 2* γενόμενον *May pg. 33:* γινόμεν̄ (ον supra) P¹ 9 εἰς *Her*

ἅτε δὴ ἐκ πολλοῦ ἠγριωμέναι, ὡς ὠσφρήσαντο τῆς κόρης, ἐπηνέχθησαν αὐτῇ καὶ μηδενὸς παρόντος πᾶσαν διεσπάραξαν. καὶ ἡ μὲν διὰ πόθον ἀνδρὸς κουριδίου ταύτῃ τέλος ἔσχεν. (4) Κυάνιππος δέ, ὡς ἐπελθὼν κατελάβετο λελωβημένην τὴν Λευκώνην, μεγάλῳ τε ἄχει ἐπληρώθη καὶ ἀνακαλεσάμενος τοὺς ἀμφ' αὐτὸν ἐκείνην μὲν πυρὰν νηήσας ἐπέθετο· αὐτὸς δὲ πρῶτον μὲν τὰς κύνας ἐπικατέσφαξε τῇ πυρᾷ, ἔπειτα δὲ πολλὰ ἀποδυρόμενος τὴν παῖδα διεχρήσατο ἑαυτόν.

XI. Περὶ Βυβλίδος.

Ἱστορεῖ Ἀριστόκριτος περὶ Μιλήτου καὶ Ἀπολλώνιος ὁ Ῥόδιος Καύνου κτίσει.

Περὶ δὲ Καύνου καὶ Βυβλίδος, τῶν Μιλήτου παίδων, διαφόρως ἱστορεῖται. Νικαίνετος μὲν γάρ φησι τὸν Καῦνον ἐρασθέντα τῆς ἀδελφῆς, ὡς οὐκ ἔληγε

FAB. XI. *Ad v. 13—pg. 62, 3 cf. Cononis Narrat. cap. II, Nonni Dionys. XIII 548—561, schol. Theocrit. VII 115, schol. Dionys. Perieg. v. 825; ad pg. 62, 4 sqq. cf. Nicandr. ap. Anton. Liber. cap. XXX [pg. 55 Schneid. Nicandr.], Ovidii Metamorph. IX 441—665, Steph. Byz. s. v.* Καῦνος. *de variis fabulae conformationibus disputavere Rohdeus Griech. Rom.² pg. 101 not. 1, Kalkmannus De Hippolyt. Eurip. quaest. nov. [Bonnae 1882] pg. 61 sqq., Knaackius Anal. Alex.-Rom. [Gryphiae 1880] pg. 62 proxx. et Callimacheorum [Stett. 1887] pg. 14 sqq., Ehwaldus ad Ovid. Met. l. l.*

1 ἐκ πολλοῦ ⟨τοῦ θηρᾶν⟩ *Zang* 5 κατέλαβε *Cob* μεγάλου τε ἄχους *Her* 7 νήσας *Schneiderus* ἐπέθετο *Hir (cf. fab. VI § 6)*: ἐνέθετο P 9 ἀποδυράμενος *Cob (verum cf. fab. XXVI § 4)* 10 ΒΙΒΛΙΔΟϹ P 11 Ἀριστόκριτος] *Cf. Muelleri Frag. Hist. Gr. IV 334 sqq.* Ἀπολλώνιος ὁ Ῥόδιος] *Cf. Michaelis De Apollon. Rhod. fragm. (Halis 1875) pg. 8 sqq.* 13 βιβλίδοσ P

τοῦ πάθους, ἀπολιπεῖν τὴν οἰκίαν καὶ ὁδεύσαντα πόρρω τῆς οἰκείας χώρας πόλιν τε κτίσαι καὶ τοὺς ἀπεσκεδασμένους τότε Ἴωνας ἐνοικίσαι. (2) *λέγει δὲ ἔπεσι τοῖσδε·*

αὐτὰρ ὅ γε προτέρωσε κιὼν Οἰκούσιον ἄστυ
κτίσσατο, Τραγασίην δὲ †κα|λαινέες ἤγετο παῖδα fol. 180r
ἥ οἱ Καῦνον ἔτικτεν ἀεὶ φιλέοντα θέμιστας.
γείνατο δὲ ῥαδαλῆς ἐναλίγκιον ἀρκεύθοισι
Βυβλίδα. τῆς ἤτοι ἀέκων ἠράσσατο Καῦνος.
* * * * * * * * * * * *
βῆ †δεφερενδιος φεύγων ὀφιώδεα †κύπρον,
καὶ †κάπρος †ὑλιγενὲς καὶ Κάρια ἱρὰ λοετρά.
* * * * * * * * * * * *

---

1 τὸ πάθος *Sak (sed vide May pg. 33)* οἰκείαν *Ro (sed cf. subinde sequentia)* 3 λέγω (ει supra ω) P[1] 5 οικουσιον P *(resp. Steph. Byz. s. v* Οἰκοῦς *verba* Οἰκούσιον ἄστυ*)* 6 κτίσσατο, *prius* σ *in ras.* P[1] Τραγασίην δὲ — ἤγετο παῖδα *Heckerus Philol. V (1846) pg. 415:* τραγασίηι δὲ — εἴχετο παιδὶ P *vitiosam cod.* P *lectionem* καλαινέες *mutant in* Κελαινέος *Pass et Ell pg. 225* Κελαινοῦς *Is. Vossius ad Pomp. Mel. I 16 probante Heckero* Κελαινόος *G. Knaackius (cf. Strab. pg. 579 C)* Καλαινοῦς *Hey probante Meinekio* 8 δὲ ῥαδαλῆς *Vossius l. l.:* δ' ἐραδαλῆισ P 9 βιβλίδα P *post v. 5 lacunam esse statuit Mein* 11 sqq. *haud dubie memorantur loca quae Caunus iter per Cariam confinesque regiones faciens attigit. pro depravato illo* βῆ δεφερενδιος *codicis* P *scrib. censuit* βῆ δ' ἐπ' ἔραν Δίας *(urbs Cariae) Vossius l. l.* βῆ δὲ πέρην Δίας *Pass; contra* βῆ δ' ὄγ' ἄφαρ δέννους *Jac ad Anth. Pal. VII pg. 233* βῆ δ' ἄφαρ ἔνδιος *Kayserus* βῆ δὲ Πυρινδῆας *Ell l. l. in lectione cod.* P ὀφιώδεα κύπρον *manifesto mendo laborat posterius vocabulum: contra adi.* ὀφιώδεα *nil habet suspecti: ergo utique conservandum. quo edocemur in voce* κύπρον *non fluvii, sed saltus vel montis nomen latere: inde legerim* ὀφ. Κάδμον *(quo de monte cf. Strab. pg. 578 C). improbandae correctiones:* ὀφ. Κάπρον *(de quo flum. vid. Strab. l. l.) Hey* φρικώδεα Κύπρον *Jac* ὀφρυώδεα Κύδνον *vel* Κύδναν *(cl. Ptol. Geogr. V 3, 5) Ell l. l.* 12 κάπροσ *corrupte* P: *pro quo ne simpliciter restituatur* Κάπρον *(cf. Strab. l. c.) metrum renititur (sed. fort.* Κάπρον θ' *scr. pro* καὶ Κ.*);*

ἔνθ' ἤτοι πτολίεθρον ἐδείματο πρῶτος Ἰώνων.
αὐτὴ δὲ γνωτὴ ὀλολυγόνος οἶτον ἔχουσα
Βυβλὶς ἀποπρὸ πυλῶν Καύνου ὠδύρατο νόστον.

(3) *οἱ δὲ πλείους τὴν Βυβλίδα φασὶν ἐρασθεῖσαν τοῦ Καύνου λόγους αὐτῷ προσφέρειν καὶ δεῖσθαι μὴ περιιδεῖν αὐτὴν εἰς πᾶν κακὸν προελθοῦσαν· ἀποστυγήσαντα δὲ οὕτως τὸν Καῦνον περαιωθῆναι εἰς τὴν τότε ὑπὸ Λελέγων κατεχομένην γῆν, ἔνθα κρήνη Ἐχενηΐς, πόλιν τε κτίσαι τὴν ἀπ' αὐτοῦ κληθεῖσαν Καῦνον. τὴν δὲ ἄρα ὑπὸ τοῦ πάθους μὴ ἀνιεμένην, πρὸς δὲ καὶ δοκοῦσαν αἰτίαν γεγονέναι Καύνῳ τῆς ἀπαλλαγῆς, ἀναψαμένην ἀπό τινος δρυὸς τὴν μίτραν ἐνθεῖναι τὸν τράχηλον.* (4) *λέγεται δὲ καὶ παρ' ἡμῖν οὕτως·*

ἡ δ' ὅτε δή ⟨ῥ'⟩ ὀλοοῖο κασιγνήτου νόον ἔγνω,
κλαῖεν ἀηδονίδων θαμινώτερον, αἵ τ' ἐνὶ βήσσῃς
Σιθονίῳ κούρῳ πέρι μυρίον αἰάζουσιν.
καί ῥα κατὰ στυφελοῖο σαρωνίδος αὐτίκα μίτρην
ἀψαμένη δειρὴν ἐνεθήκατο· ταὶ δ' ἐπ' ἐκείνῃ
βεύδεα παρθενικαὶ Μιλησίδες ἐρρήξαντο.

Κράγος (vol. nim. Κράγον) Vossius l. l. *aperte corruptum est adiectivum ὑλιγενές, quod in* P *legitur: ἠλιτενές (subaudito monte neutr. gen.) Mein ὑψιτενῆ (scil. Κράγον) Heckerus* *Καρῶν Hey* *aut pro ἱρὰ leg. ἵκτο aut post λοετρά aliquid excidisse autumat Mein. hoc mihi probabilius videtur.*

2 *αὐτοκασιγνήτη Legr prob. G. Knaackio qui addit ⟨δ'⟩ (sed vide ex. gr. Hom. P 35)* *οἶτον ἔχουσα] cf. Hom. I 563* 3 *ἀποπρὸ πυλῶν quod* P *praebet mihi suspectum; ἀπὸ προπύλων Brunckius Anal. I pg. 417* 4 *βιβλίδα, poster. ι in ras.* P[1] 6 *πᾶν κακοῦ Cob* 7 *pro οὕτως scribi volt τοὔπος Legr (sed cf. cap. VI § 5, XVIII § 2, XXI § 1, XXVIII § 1)* 10 *ἀνεμένην* P[1] 14 *cf. Parth. frg. 29* *⟨ῥ'⟩ Legr* *κασιγνήτου* P[1] 15 *κλαῖεν ἀηδονίδων D. Heinsius ἔκλαι' ἀδονίδων vel κλαῖεν ἄρ' ἀδονίδων Mein: κλαῖεν ἀδονίδων* P[1] *(cf. Call. Lav. Pall. v. 94)*

φασὶ δέ τινες καὶ ἀπὸ τῶν δακρύων κρήνην ῥυῆναι ἀίδιον τὴν καλουμένην Βυβλίδα.

XII. Περὶ Κάλχου.

Λέγεται δὲ καὶ Κίρκης, πρὸς ἣν Ὀδυσσεὺς ἦλθε, Δαύνιόν τινα Κάλχον ἐρασθέντα τήν τε βασιλείαν ἐπιτρέπειν τὴν Δαυνίων αὐτῇ καὶ ἄλλα πολλὰ μειλίγματα παρέχεσθαι· τὴν δὲ ὑποκαιομένην Ὀδυσσέως | fol. 180v *(τότε γὰρ ἐτύγχανε παρὼν) ἀποστυγεῖν τε αὐτὸν καὶ κωλύειν ἐπιβαίνειν τῆς νήσου.* (2) *ἐπεὶ μέντοι οὐκ ἀνίει φοιτῶν καὶ διὰ στόμα ἔχων τὴν Κίρκην, μάλα ἀχθεσθεῖσα ὑπέρχεται αὐτὸν καὶ αὐτίκα εἰσκαλεσαμένη τράπεζαν αὐτῷ παντοδαπῆς θοίνης πλήσασα παρατίθησιν. ἦν δ' ἄρα φαρμάκων ἀνάπλεω τὰ ἐδέσματα· φαγών τε ὁ Κάλχος εὐθέως παραπλὴξ ἵεται καὶ αὐτὸν ἤλασεν ἐς συφεούς.* (3) *ἐπεὶ μέντοι μετὰ χρόνον Δαύνιος στρατὸς ἐπήει τῇ νήσῳ ζήτησιν ποιούμενος τοῦ Κάλχου, μεθίησιν αὐτὸν πρότερον ὁρκίοις καταδησαμένη μὴ ἀφίξεσθαί ποτε εἰς τὴν νῆσον μήτε μνηστείας μήτε ἄλλου του χάριν.*

FAB. XII. *Cf. Maassium Hermae vol. XXIII (1888) pg. 620 et Geffckeni Tim. Geogr. des West. (Berol. 1892) pg. 15 cum not. 3.*

---

p. 62, 16 *Σιδονίῳ perperam Kayserus (Σιθόνιος κοῦρος = Itys) πέρι Legr: περι* P   18 *Ovidium Art. amat. I 283 hunc locum respexisse animadvertit Ehwaldus ad Ovid. Met. IX 441*   *post ἐνεθήκατο aliquam multa excidisse putat Ro Griech. Rom.*[2] *pg. 102 not.*   19 ad *βεύδεα cf. Hesych. s. v. βεῦδος· στέμμα τι καὶ ἱμάτιον γυναικεῖον (vid. etiam Callim. frg. 155 cum adnot. Schneideri)*

2 *ἀίδιον Zang (cl. Ovid. Met. IX 657): ἰδίαι* P   *βυβλίδα* P²: *βιβλίδα* P¹   9 *τῆς εὐνῆς Naberus Mnemos. N. S. XX (1892) pg. 337*   12 *παντοδαπῆσ θοίνησ* P¹, *post erasit nescio quis utrumque σ*   14 *ἵεται Mein γίνεται Her ἧστο Legr: ἵεται* P   15 verba *ἤλασεν ἐς συφεούς metro adstricta esse agnovit May pg. 2 not. 2*

XIII. Περὶ Ἁρπαλύκης.

Ἱστορεῖ Εὐφορίων Θρᾳκὶ καὶ Δεκτάδας.

Κλύμενος δὲ ὁ Τελέως ἐν Ἄργει γήμας Ἐπικάστην γεννᾷ παῖδας, ἄρρενας μὲν Ἴδαν καὶ Θήραγρον, θυγατέρα δὲ Ἁρπαλύκην πολύ τι τῶν ἡλίκων θηλειῶν κάλλει διαφέρουσαν. ταύτης εἰς ἔρωτα ἐλθὼν χρόνον μέν τινα ἐκαρτέρει καὶ περιῆν τοῦ παθήματος, ὡς δὲ πολὺ μᾶλλον αὐτὸν ὑπέρρει τὸ νόσημα, τότε διὰ τῆς τροφοῦ κατεργασάμενος τὴν κόρην λαθραίως αὐτῇ συνῆλθεν. (2) ἐπεὶ μέντοι γάμου καιρὸς ἦν καὶ παρῆν Ἀλάστωρ, εἷς τῶν Νειλειδῶν, ἀξόμενος αὐτήν, ᾧ καθωμολόγητο, παραχρῆμα μὲν ἐνεχείρισε πάνυ λαμπροὺς γάμους δαίσας. (3) μεταγνοὺς δὲ οὐ πολὺ ὕστερον διὰ τὸ ἔκφρων εἶναι μεταθεῖ τὸν Ἀλάστορα καὶ περὶ μέσην ὁδὸν αὐτῶν ἤδη ὄντων ἀφαιρεῖται τὴν κόρην ἀγ⟨αγ⟩όμενός τε εἰς Ἄργος ἀναφανδὸν αὐτῇ ἐμίσγετο. ἡ δὲ δεινὰ καὶ ἔκνομα πρὸς τοῦ πατρὸς ἀξιοῦσα πεπονθέναι τὸν νεώτερον ἀδελφὸν κατακόπτει

FAB. XIII. *Cf. Nonni Dionys. XII 71—75, schol. Vict. et Eustath. ad Hom.* Ξ *291* ∾ *Hygini fab. 206, 238, 239, 242, 246, 253, 255; Lact. Plac. ad Stat. Theb. V 120. de fabula vide Rohdii Griech. Rom.[2] pg. 38 not. 5.*

---

2 *Εὐφορίων*] *Cf. Meinekii Anal. Alex. pg. 55 proxx. nomen* ΔΕΚΤΆΔΑϹ *secundum leges gr. linguae formatum utique conservandum est (cf. Crusium apud Roscher. Lex. myth. vol. I pg. 1837 not. XX): Δωσιάδας Eug. Dittrichius et Ro Διευχίδας Gal Ἀθανάδας Bast Ἀρητάδας Cob Var. lect.[2] pg. 203 Δεινίας Heckerus Philol. V (1846) 416* 6 *ἐλθὼν ⟨Κλύμενος⟩ Gal* 10 *συνήει Zang* 11 *Νειλειδῶν Mein:* *νηλείδων* P *verba ᾧ καθωμολόγητο pro spuriis habet Her; eadem ante ἀξόμενος αὐτὴν transponere volt Sak (sed vide May pg. 59)* 14 *μεταθεῖ Schneiderus:* *καταθεῖ* P 16 *ἀγ⟨αγ⟩όμενός Her*

καί τινος ἑορτῆς καὶ | θυσίας παρ' Ἀργείοις τελουμένης, ἐν ᾗ δημοσίᾳ πάντες εὐωχοῦνται, [καὶ] τότε σκευάσασα τὰ κρέα τοῦ παιδὸς παρατίθησι τῷ πατρί. fol. 181r (4) *καὶ ταῦτα δράσασα αὐτὴ μὲν εὐξαμένη θεοῖς ἐξ ἀνθρώπων ἀπαλλαγῆναι μεταβάλλει τὴν ὄψιν εἰς χαλκίδα ὄρνιν. Κλύμενος δέ, ὡς ἔννοιαν ἔλαβε τῶν συμφορῶν, διαχρῆται ἑαυτόν.*

XIV. Περὶ Ἀνθέως.

Ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά.

Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεύς ἐκ βασιλείου γένους ὡμήρευσε παρὰ Φοβίῳ, ἑνὶ τῶν Νειλειδῶν, τότε κρατοῦντι Μιλησίων. τούτου Κλεόβοια, ἣν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνή, ἐρασθεῖσα πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν παῖδα. (2) *ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο ποτὲ μὲν φάσκων ὀρρωδεῖν, μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δία Ξένιον καὶ κοινὴν τράπεζαν προϊσχόμενος, ἡ Κλεόβοια κακῶς φερομένη ἐν νῷ εἶχε τίσασθαι αὐτόν, ἀνηλεῆ τε καὶ*

---

2 [καὶ] *Legr* 4 δράσα P[1], *alterum* σα *adiecit* P[2] 5 χαλκίδα *Schneiderus:* καλχίδα P 9 Ἀριστοτέλης] *Cf. Rosii syllog. frg. Arist.*[3] *pg. 342 et Muelleri Frag. Hist. Gr. IV 335, ubi apud Parth. pro Aristotelis nomine Aristocriti restituendum esse conicitur* οἱ τὰ Μιλησιακά] *Cf. Muelleri Frag. Hist. Gr. IV 424* 10 ⟨Ἀσσησοῦ⟩ παῖς *Naberus Mnemos. N. S. XX (1892) pg. 337* 11 ἑνὶ *Gal:* ἐπὶ P νειλειδων P: Νηλειδῶν *Corn* 17 προϊσχόμενος *Legr:* προσισχόμενοσ P *verba* κακῶς φερομένη *vix sana (sententia loci exigit* βαρέως φέρουσα *vel s. q.);* κακῶς φέρουσα *Her, qui tamen Hermae vol. XI (1876) pg. 227* κακῶς φλεγομένη *proposuit,* διακαῶς φλεγομένη *Schmidtius Beitr. z. Krit. d. gr. Erot. pg. 1* τῷ κακῷ (= τῷ σφοδρῷ ἔρωτι) φλεγομένη *Zang*

ὑπέραυχον ἀποκαλουμένη. (3) ἔνθα δὴ χρόνου προϊόντος τοῦ μὲν ἔρωτος ἀπηλλάχθαι προσεποιήθη· πέρδικα δὲ τιθασσὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα ἐδεῖτο τοῦ Ἀνθέως, ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν. (4) τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν ὑφορᾶσθαι ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ πέτρον· καὶ ὁ μὲν παραχρῆμα ἐτεθνήκει, ἡ δὲ ἄρα ἐννοηθεῖσα, ὡς δεινὸν ἔργον δεδράκοι, καὶ ἄλλως δὲ καιομένη σφοδρῷ ἔρωτι τοῦ παιδὸς ἀναρτᾷ ἑαυτήν. (5) Φοβίος μέντοι διὰ ταύτην τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε Φρυγίῳ τῆς ἀρχῆς. ἔφασαν δέ τινες οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται ἐν τοῖσδε ἐν Ἀπόλλωνι·

παῖς Ἱπποκλῆος Φοβίος Νειληϊάδαο
fol. 181v ἔσται ἰθαι|γενέων γνήσιος ἐκ πατέρων.
(cf. simulacr. cod. P) τῷ δ' ἄλοχος μνηστὴ δόμον ἵξεται, ἧς ἔτι νύμφης
ἠλάκατ' ἐν θαλάμοις καλὸν ἑλισσομένης,
Ἀσσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ἀνθεύς
ὅρκι' ὁμηρείης πίστ' ἐπιβωσάμενος,

---

1 ἀποκαλοῦσα *Her Hermae l. suprascr.* 3 τίθασσον, σο *in ras.* P[1] τιθασὸν *Mein* 8 καιομένη P[1], *postea nescio quis erasit* ι *adscriptum* 9 Φοβίος *Mein (cf. Lehrs. De Arist. stud. Hom.[2] pg. 269)*: φόβιοσ P 12 ὧν *Her* 13 [ἐν Ἀπόλλωνι] *Her* 14 *carmen hoc docta interpretatione inlustraverunt Jacobsius ad Brunckii Anal. I 2 pg. 239, N. Bachius Zeitschr. f. d. Altert.-Wiss. 1837 nr. 41 pg. 339 sqq., Meinekius Anal. Alex. pg. 220 proxx., M. Hauptius Opusc. II pg. 96 sqq.* Φοβίος *Mein:* φόβιοσ P[1], *post n. q. ex* σ *radendo fec.* ο Νειληϊάδαο *Mein:* νηληϊάδαο P 16 ἵξεται *Pass:* ἥξεται P[1] *(forsitan librarius pusillum* ι *litteram* ι *esse voluerit)* 17 ἑλισσομένης *Gal:* ἑλισσομένη P 18 *de Asseso vide Leutsch. Philol. XI (1852) pg. 53* 19 ἐπιβωσάμενος *vereor ut recte legatur: certe Hauptii interpretatio utique reicienda est;* (πιστὰ) κυρωσάμενος *Ro;* ἀποδωσόμενος *Legr* ἐπιδωσόμενος *G. Knaackius (mihi quoque futurum necessarium videtur)*

πρωθήβης, ἔαρος θαλερώτερος· (οὐδὲ Μελίσσῳ
Πειρήνης τοιόνδ' ἀλφεσίβοιον ὕδωρ
θηλήσει †μέγαν υἱόν· ἀφ' οὗ μέγα χάρμα Κορίνθῳ
ἔσται καὶ βριαροῖς ἄλγεα Βακχιάδαις·)
'Ανθεὺς 'Ερμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη
μαινὰς ἄφαρ σχήσει τὸν λιθόλευστον ἔρον·
καί ἑ καθαψαμένη γούνων ἀθέμιστα τελέσσαι
πείσει· ὁ δὲ Ζῆνα Ξείνιον αἰδόμενος
σπονδάς τ' ἐν Φοβίου καὶ ἅλα ξυνεῶνα θαλείης
κρήναις καὶ ποταμοῖς νίψετ' ἀεικὲς ἔπος.
ἡ δ' ὅταν ἀρνῆται μελεὸν γάμον ἀγλαὸς 'Ανθεύς,
δὴ τότε οἱ τεύξει μητιόεντα δόλον
μύθοις ἐξαπαφοῦσα, λόγος δέ οἱ ἔσσεται οὗτος·
γαυλός μοι χρύσεος φρείατος ἐκ μυχάτου
νῦν ὅτ' ἀνελκόμενος διὰ μὲν κακὸν ἤρικεν οὖσον,
αὐτὸς δ' ἐς νύμφας ᾤχετ' ἐφυδριάδας.
πρὸς σὲ θεῶν ἀλλ' εἴ μοι, ἐπεὶ καὶ πᾶσιν ἀκούω
ῥηΐδίην οἶμον τοῦδ' ἔμεναι στομίου,
ἰθύσας ἀνέλοιο, τότ' ἂν μέγα φίλτατος εἴης.
ὧδε μὲν ἡ Φοβίου Νειλεΐδαο δάμαρ

---

2 *Πειρήνης Valesius ad Diod. Sic. II pg. 548: πετρήνησ* P 3 *θηλήσει Pass: θελήσει* P *μέγαν h. l. ineptum sequentique μέγα procreatum esse pervidit Hauptius l. l. p. 98, qui Pleuronium poetam τέρεν' scripsisse speciose coniecit* 5 *ἔπι Corn: ἔνι* P 6 *ἔρον Gal (cf. Apoll. Rhod. Argon. I 613 cum scholl.): ἔρων* P *quod probat Mein* 7 *καθαψαμένη Legr: καθαψαμένησ* P *ἀθέμιστα τελέσσαι Hey (cf. Haupt. l. l. pg. 98): ἀτέλεστα κομίσσαι* P 9 *ἐκ Φοβ. Gal ξυνῶνα dubito an recte Mein θαλείης Hauptius l. l. pg. 99 τραπέζης Legr: θαλάσσησ* P 13 *ἐξαπάφουσα* P 15 *νῦν ὅτ' Mein: νῦν δχ* P *διὰ μὲν κακὸν (Villoisonus) ἤρικεν οὖσον (Piersonus): δια μὲν καλὸνήρικενοῦσον* P 17 *παισὶν Piersonus* 18 *οἶμον editores* 19 *τότ' Piersonus: τοι* P *μέγα idem: μέτα* P 20 *Νειλεΐδαο Mein Νηλιάδαο Pass Νηλεΐδαο Brunckius: νειλιάδαο* P

φθέγξεθ'· ὁ δ' οὐ φρασθεὶς ἀπὸ μὲν Λελεγήϊον εἷμα,
μητρὸς ἑῆς ἔργον, θήσεται Ἑλλαμένης,
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
φρείατος· ἡ δ' ἐπί οἱ λιρὰ νοεῦσα γυνὴ
ἀμφοτέραις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει.
καὶ τόθ' ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος
ἠρίον ὀγκώσει τὸ μεμορμένον, ἡ δ' ὑπὸ δειρὴν
ἀψαμένη σὺν τῷ βήσεται εἰς Ἀΐδην.

XV. Περὶ Δάφνης.

Ἡ ἱστορία παρὰ Διοδώρῳ τῷ Ἐλαΐτῃ ἐν ἐλεγείαις καὶ Φυλάρχῳ ἐν ιε.

Περὶ δὲ τῆς Ἀμύκλα θυγατρὸς τάδε λέγεται Δάφνης.
fol. 182r *αὕτη τὸ μὲν ἅ|παν εἰς πόλιν οὐ κατῄει οὐδ' ἀνε-*

FAB. XV. *Cf. Prob. ad Verg. Ecl. III 62, pg. 9, 4 sqq. K (Leuschke De metamorph. in scholl. Verg. fab. [Marp. 1895] pg. 58):* Laurum ei gratam accipere debemus, quod Daphnen, ut volt Parthenius in volumine, quod ei de amantibus compositum est, Amyclesi (corrigendum: Amyclae) filiam, dilexit, quam ne per vim stupraret, Iuppiter in arborem laurum convertit. *Cf. praeterea Plut. Agid. IX 2 (hic expressis verbis provocat ad Phylarchum, qui unus aeque ac Parthenius patrem Daphnes facit Amyclam); Pausan. VIII 20; Ovid. Metam. I 452 sqq., Hygin. fab. CCIII; [Palaeph.] cap. L, Tzetz. ad Lycophr. v. 6. de fabula expos. Helbigius Mus. Rhen. vol. XXIV (1869) pg. 251 sqq.*

---

1 φθέγξεθ' *Corn:* φθέγξαι' P 2 Ἑλλαμενῆς *Pass* Ἐλλαμενῆς *Mein* Ἐλλαμένης *Leutsch. l. l. pg. 53 (de accentu cf. Herod. techn. rell. ed. Lentz. I 329, 19 sqq.)* 7 οἱ χώσει *Legr* οἰκήσει *Brunckius* ὀκχήσει *Bergkius Philol. XVI (1857) pg. 587 (traditae lectioni strenue patrocinatus est Hauptius l. l. pg. 99)* 8 *pro* σὺν τῷ *legendum censet* σχοῖνον *Her (nec vero istis verbis quidquam sanius)* 10 Δούριδι τῷ Ἐλ. *Heckerus Philol. V (1846) pg. 416* 11 Φυλάρχῳ] *Cf. Muelleri Frag. Hist. Gr. I 342* 12 δάφνη P[1], σ *add.* P[2] Δάφνης *post* θυγατρὸς *transpos. Hir* 13 *malim* παράπαν

μίσγετο ταῖς λοιπαῖς παρθένοις· παρασκευασαμένη δὲ πολλοὺς κύνας ἐθήρευεν καὶ ἐν τῇ Λακωνικῇ καὶ ἔστιν ὅτε ἐπιφοιτῶσα εἰς τὰ λοιπὰ τῆς Πελοποννήσου ὄρη. δι' ἣν αἰτίαν μάλα καταθύμιος ἦν Ἀρτέμιδι, καὶ αὐτὴν εὔστοχα βάλλειν ἐποίει. (2) *ταύτης περὶ τὴν Ἠλιδίαν ἀλωμένης Λεύκιππος, Οἰνομάου παῖς, εἰς ἐπιθυμίαν ἦλθε καὶ τὸ μὲν ἄλλως πως αὐτῆς πειρᾶσθαι ἀπέγνω, ἀμφιεσάμενος δὲ γυναικείαις ἀμπεχόναις καὶ ὁμοιωθεὶς κόρῃ συνεθήρα αὐτῇ. ἔτυχε δέ πως αὐτῇ κατὰ νοῦν γενόμενος οὐ μεθίει τε αὐτὸν ἀμφιπεσοῦσά τε καὶ ἐξηρτημένη πᾶσαν ὥραν.* (3) *Ἀπόλλων δὲ καὶ αὐτὸς τῆς παιδὸς πόθῳ καιόμενος ὀργῇ τε καὶ φθόνῳ εἴχετο τοῦ Λευκίππου συνόντος καὶ ἐπὶ νοῦν αὐτῇ βάλλει σὺν ταῖς λοιπαῖς παρθένοις ἐπὶ κρήνην ἐλθούσαις λούεσθαι. ἔνθα δὴ ὡς ἀφικόμεναι ἀπεδιδύσκοντο καὶ ἑώρων τὸν Λεύκιππον μὴ βουλόμενον, περιέρρηξαν αὐτόν. μαθοῦσαι δὲ τὴν ἀπάτην καὶ ὡς ἐπεβούλευεν αὐταῖς, πᾶσαι μεθίεσαν εἰς αὐτὸν τὰς αἰχμάς.* (4) *καὶ ὁ μὲν δὴ κατὰ θεῶν βούλησιν ἀφανὴς γίνεται, Ἀπόλλωνα δὲ Δάφνη ἐπ' αὐτὴν ἰόντα*

---

1 *παρεσκευασμένη Pass περιαθροισαμένη Sak* 2 *πολλοὺς κύνας Zang (cf. fab. XXXVI § 1) κύνας Legr ἄρκυας sive δίκτυα Hey κύνας ⟨πολλοὺς⟩ Sak πρόκας Houtsma Wochenschr. f. kl. Philol. 1896 nr. 13 pg. 363 ⟨ἄρκυς⟩ πυκνὰς W. Drexler eod. diar. 1896 nr. 10 pg. 278 πυκνῶς Scaligerus et Pass: πυκνὰσ, υ in ras.* P[1] *(recte statuit Zang in υκνὰσ vocem κύνας delitescere, π autem nil aliud esse nisi male intellectum formae πολλοὺς compendium)* 3 *ἔστιν ὅτε, quod in P verbum ἐθήρευεν sequitur, ad vocabula ἐπιφοιτῶσα et q. s. pertinere intellexit Zang* 6 *Ἠλιδίαν Mein (conl. Steph. Byz. s. v. Ἦλις): ἡλικίαν* P *(cf. cet. O. Schneideri Nicandr. pg. 47 not. 2) Λεύκιππος Frobenius: εὔιπποσ* P 8 *γυναικείας ἀμπεχόνας Legr (verum cf. May pg. 34)* 10 *μεθίει Gal: μεθιείσ* P 11 *ἀμφιέπουσά Peerlkampius Bibl. crit. nov. II pg. 218 ἀμφιπολοῦσα Cob ἀμφιπολεύουσα Her (verum tradita lectio integra cf. ex. gr. Hom. ϑ 523)* 19 *δὴ Legr: ἢ* P

προϊδομένη μάλα ἐρρωμένως ἔφευγεν. ὡς δὲ συνεδιώκετο, παρὰ Διὸς αἰτεῖται ἐξ ἀνθρώπων ἀπαλλαγῆναι. καὶ αὐτήν φασι γενέσθαι τὸ δένδρον τὸ ἐπικληθὲν ἀπ' ἐκείνης δάφνην.

XVI. Περὶ Λαοδίκης.

Ἱστορεῖ Ἡγήσιππος Παλληνιακῶν α̅.

Ἐλέχθη δὲ καὶ περὶ Λαοδίκης ὅδε λόγος, ὡς ἄρα παραγενομένων ἐπὶ Ἑλένης ἀπαίτησιν Διομήδους καὶ Ἀκάμαντος πολλὴν ἐπιθυμίαν ἔχειν μιγῆναι παντάπασι νέῳ ὄντι Ἀκάμαντι· καὶ μέχρι μέν τινος ὑπ' fol. 182v *αἰδοῦς κατέχεσθαι, ὕστερον δὲ | νικωμένην ὑπὸ τοῦ πάθους ἀνακοινώσασθαι Περσέως γυναικὶ (Φυλοβίῃ αὐτῇ ὄνομα) παρακαλεῖν τε αὐτὴν ὅσον οὐκ ἤδη διοιχομένῃ ἀρήγειν αὐτῇ.* (2) *κατοικτείρουσα δὲ* ⟨*αὕτη*⟩ *τὴν συμφορὰν τῆς κόρης δεῖται τοῦ Περσέως, ὅπως συνεργὸς αὐτῇ γένηται ἐκέλευέ τε ξενίαν καὶ φιλότητα τίθεσθαι πρὸς τὸν Ἀκάμαντα. Περσεὺς δὲ τὸ μὲν καὶ τῇ γυναικὶ βουλόμενος ἁρμόδιος εἶναι, τὸ δὲ καὶ*

FAB. XVI. *Cf. Lycophr. Alex. v. 494 sqq. (cum vet. scholl.), Euphor. frg. 55 M. (Anal. Alex. pg. 97 sqq.); Plut. Thes. cap. 34. de extrema fabulae parte vid. G. Knaackium Annal. philol. vol. CXXXIV (1888) pg. 149.*

1 προεἴδομένη P^1 6 Ἡγήσιππος] *Cf. Muelleri Frag. Hist. Gr. IV 424* Παλληνιακῶν *Heckerus Philol. V (1846) 417:* ΜΙΛΗϹΙΑΚΩ͂Ν P 7 ὅδ' ὁ λόγος *Hir (sed cf. May pg. 42)* 9 εἶχε *Legr (verum infin. iuxta* ὡς *nil habet offensionis: vide Kruegeri art. gr. 55, 4, 10)* 12 Φυλοβίῃ *Wilamowitzius Philol. Unters. I pg. 138 not. 62:* φιλοβίη P 13 *pro* ὅσον οὐκ ἤδη *leg. cens.* μόνον οὐχὶ δὴ *Legr; malim* ὅσον [οὐκ] ἤδη 14 ἡ δὲ κατ. *Legr* κατ. δὲ ⟨αὕτη⟩ *Ro et Zang*

τὴν Λαοδίκην οἰκτείρων πάσῃ μηχανῇ [ἐπὶ] τὸν Ἀκάμαντα εἰς Δάρδανον ἀφικέσθαι πείθει· καθίστατο γὰρ ὕπαρχος τοῦ χωρίου. (3) *ἦλθε καὶ Λαοδίκη ὡς εἰς ἑορτήν τινα σὺν ἄλλαις τῶν Τρῳάδων ἔτι παρθένος οὖσα. ἔνθα δὴ παντοδαπὴν θοίνην ἑτοιμασάμενος συγκατακλίνει καὶ τὴν Λαοδίκην αὐτῷ φάμενος μίαν εἶναι τῶν τοῦ βασιλέως παλλακίδων.* (4) *καὶ Λαοδίκη μὲν οὕτως ἐξέπλησε τὴν ἐπιθυμίαν, χρόνου δὲ προϊόντος γίνεται τῷ Ἀκάμαντι υἱὸς Μούνιτος, ὃν ὑπ' Αἴθρας τραφέντα μετὰ Τροίας ἅλωσιν διεκόμισεν ἐπ' οἴκου. καὶ αὐτὸν θηρεύοντα ἐν Ὀλύνθῳ τῆς Θρᾴκης ὄφις ἀνεῖλεν.*

XVII. Περὶ τῆς Περιάνδρου μητρός.

Λέγεται δὲ καὶ Περίανδρον τὸν Κορίνθιον τὴν μὲν ἀρχὴν ἐπιεικῆ τε καὶ πρᾶον εἶναι, ὕστερον δὲ φονικώτερον γενέσθαι δι' αἰτίαν τήνδε. ἡ μήτηρ αὐτοῦ κομιδῇ νέου πολλῷ ⟨πόθῳ⟩ κατείχετο· καὶ τέως ⟨μὲν⟩ ἀνεπίμπλατο τῆς ἐπιθυμίας περιπλεκομένη τῷ παιδί. (2) *προϊόντος δὲ τοῦ χρόνου τὸ πάθος ἐπὶ μεῖζον*

FAB. XVII. *Cf. Ps. Aristippum ap. Laert. Diog. I 96 (de illo v. Wilamowitzii Antig. v. Kar. pg. 48 sqq.).*

---

1 ἐπὶ τ. ἀκ. P^1 *inde fecit ipse libr.* ἐπεὶ τ. ἀκ. *sine dubio praepos.* ἐπὶ *ab oscitante aliquo vel scriba vel lectore invecta est ut cap. V § 5;* ἐπείγων Ἀκ. *Jac Ephem. Hal. 1806 nr. 282* ἐπῄει τὸν Ἀκ. ⟨καὶ⟩ *idem Anthol. Pal. XII pg. 208* ἔπει⟨θε⟩ τὸν Ἀκ. *deleto sequenti* πείθει *Duentzerus Philol. IV (1845) 384* ὑπελθὼν τὸν Ἀκ. *Zang* 3 ἦλθε ⟨δὲ⟩ *Legr* 6 [καὶ] *Her* 9 Αἴθρας *Hir:* αἴθραι, *sed* ι *poster. in ras.* P^1 16 φονικώτατον *Her* 17 πολλῷ ⟨πόθῳ⟩ κατ. *Gal* πονηρῷ κατ. ⟨ἔρωτι⟩ *Schmidtius Beitr. z. d. gr. Erot. pg. 2* ⟨μὲν⟩ *Mein*

ηὔξετο καὶ κατέχειν τὴν νόσον οὐκ ἔτι οἷα τε ἦν, ἕως ἀποτολμήσασα προσφέρει λόγους τῷ παιδί, ὡς αὐτοῦ γυνή τις ἐρῴη τῶν πάνυ καλῶν, παρεκάλει τε αὐτὸν fol. 183r μὴ περιορᾶν αὐτὴν | περαιτέρω καταξαινομένην. (3) ὁ δὲ τὸ μὲν πρῶτον οὐκ ἔφη φθερεῖν ἐζευγμένην γυναῖκα ὑπό τε νόμων καὶ ἐθῶν, λιπαρῶς δὲ προσκειμένης τῆς μητρὸς συγκατατίθεται. καὶ ἐπειδὴ νὺξ ἐπῆλθεν, εἰς ἣν ἐτέτακτο τῷ παιδί, προεδήλωσεν αὐτῷ μήτε λύχνα φαίνειν ἐν τῷ θαλάμῳ μήτε ἀνάγκην αὐτῇ ἐπάγειν πρὸς τὸ διαλεχθῆναί τι· ἐπιπροσδεῖσθαι γὰρ αὐτὴν ⟨τοῦτο⟩ ὑπ' αἰδοῦς. (4) καθομολογησαμένου δὲ τοῦ Περιάνδρου πάντα ποιήσειν κατὰ τὴν ὑφήγησιν τῆς μητρός, ὡς ὅτι κράτιστα αὐτὴν ἀσκήσασα εἰσέρχεται παρὰ τὸν παῖδα καὶ πρὶν ἢ περιφαίνειν ἕω, λαθραίως ἔξεισιν. τῇ δ' ὑστεραίᾳ ἀναπυνθανομένης αὐτῆς, εἰ κατὰ νοῦν αὐτῷ γένοιτο καὶ εἰ αὖτις λέγοι αὐτὴν παρ' αὐτὸν ἀφικέσθαι, ὁ Περίανδρος σπουδάζειν τε ἔφη καὶ ἡσθῆναι οὐ μετρίως. (5) ὡς δὲ ⟨ἐκ⟩ τούτου οὐκ ἀνίει φοιτῶσα πρὸς τὸν παῖδα καί τις ἔρως ἐπήει τὸν Περίανδρον, ἤδη σπουδὴν ἐτίθετο γνωρίσαι τὴν ἄνθρωπον ἥτις ἦν. καὶ ἕως μέν τινος ἐδεῖτο τῆς μητρὸς ἐξικετεῦσαι ἐκείνην, ὅπως τε εἰς λόγους αὐτῷ ἀφίκοιτο, καὶ ἐπειδὴ εἰς πολὺν πόθον ἐπ⟨αγ⟩άγοιτο

---

7 εἰς ἣν ⟨ἥκειν⟩ *Zang* 8 λύχνα *Gal*: νύκτα P 10 διαλεχθῆναί οἱ *Ro* ἐπιπροσδεῖσθαι *Corn in interpr. lat.* ἐπιπροσκεῖσθαι *Ell pg. 226*: ἐπιπροσθεῖσθαι P 11 ⟨τοῦτο⟩ *Ro* 13 αὑτὴν *Corn (?)*: αὐτὴν P 14 προφαίνειν vel ἐπιφαίνειν vel φανῆναι vel προφανῆναι *Legr* ἐπιφανῆναι *Schneiderus* ὑποφαίνειν *Mein* ⟨τὴν⟩ ἕω *Schneiderus* 16 λέγοι *Hey* θέλοι *Bast*: λέγει P 18 ⟨ἐκ⟩ *Koenius ad Greg. Cor. pg. 127* 19 ⟨καὶ⟩ ἔρως *Her* ὑπήει *Legr* 20 ⟨καὶ⟩ τὸν Π. *Ro* 23 ἐπ⟨αγ⟩άγοιτο *Mein*

αὐτόν, δήλη ποτὲ γένοιτο· νυνὶ δὲ παντάπασι πρᾶγμα ἄγνωμον πάσχειν διὰ τὸ μὴ ἐφίεσθαι αὐτῷ καθορᾶν τὴν ἐκ πολλοῦ χρόνου συνοῦσαν αὐτῷ. (6) *ἐπεὶ δὲ ἡ μήτηρ ἀπεῖργεν αἰτιωμένη τὴν αἰσχύνην τῆς γυναικός, κελεύει τινὰ τῶν ἀμφ' αὐτὸν οἰκετῶν λύχνα κατακρύψαι. τῆς δὲ κατὰ τὸ σύνηθες ἀφικομένης καὶ μελλούσης κατακλίνεσθαι ἀναδραμὼν ὁ Περίανδρος ἀναιρεῖ τὸ φῶς καὶ κατιδὼν τὴν μητέρα ὥρμησεν ἐπὶ τὸ διεργάσασθαι αὐτήν.* (7) *κατασχεθεὶς δὲ ὑπό τινος δαιμονίου φαντάσμα|τος ἀπετράπετο κἀκ τούτου παραπλὴξ ἦν νοῦ τε καὶ φρενῶν κατέσκηψέ τε εἰς ὠμότητα καὶ πολλοὺς ἀπέσφαξε τῶν πολιτῶν. ἡ δὲ μήτηρ πολλὰ κατολοφυραμένη τὸν ἑαυτῆς δαίμονα ἀνεῖλεν ἑαυτήν.* fol. 183v

XVIII. Περὶ Νεαίρας.

Ἱστορεῖ Θεόφραστος ἐν $\bar{α}$ τῶν πρὸς τοὺς καιρούς.

Ὑψικρέων δὲ Μιλήσιος καὶ Προμέδων Νάξιος μάλιστα φίλω ἤστην. ἀφικομένου οὖν ποτε Προμέδοντος εἰς Μίλητον θἀτέρου λέγεται τὴν γυναῖκα Νέαιραν ἐρασθῆναι αὐτοῦ. καὶ παρόντος μὲν τοῦ Ὑψικρέοντος μὴ τολμᾶν αὐτὴν διαλέγεσθαι τῷ ξένῳ, μετὰ δὲ χρόνον, ὡς ὁ μὲν Ὑψικρέων ἐτύγχανεν ἀποδημῶν, ὁ

FAB. XVIII. *Cf. Plut. De mul. virt. cap. XVII (pg. 254 B).*

---

1 *ποτὲ γένοιτο verum videtur esse (ποτὲ = tandem aliquando); ποτὲ γένηται Hey τότε γε γένηται Ell pg. 226; τὸ τέλος γένοιτο Jac ad Achill. Tat. pg. 620 τότε γε γένοιτο Ro: τότε γεγένηται* P 7 *ἀναίρει Legr* 16 *Θεόφραστος*] *Cf. Schneideri ed. op. Theophr. V pg. 210* 19 *μιλήτου* P *νεαίραν (et in seq. semper παροξυτόνως scr.)* P

δὲ αὖτις ἀφίκετο, νύκτωρ αὐτοῦ κοιμωμένου ἐπεισέρχεται ἡ Νέαιρα. (2) καὶ πρῶτον μὲν οἷα τε ἦν πείθειν αὐτόν· ἐπειδὴ δὲ ἐκεῖνος οὐκ ἐνεδίδου Δία τε Ἑταιρήϊον καὶ Ξένιον αἰδούμενος, προσέταξεν ἡ Νέαιρα ταῖς θεραπαίναις ἀποκλεῖσαι τὸν θάλαμον καὶ οὕτως πολλὰ ἐπαγωγὰ ποιούσης ἠναγκάσθη μιγῆναι αὐτῇ. (3) τῇ μέντοι ὑστεραίᾳ δεινὸν ἡγησάμενος εἶναι τὸ πραχθὲν ᾤχετο πλέων ἐπὶ τῆς Νάξου. ἔνθα ⟨δὴ⟩ καὶ ἡ Νέαιρα δείσασα τὸν Ὑψικρέοντα διέπλευσεν εἰς τὴν Νάξον· καὶ ἐπειδὴ αὐτὴν ἐξήτει ὁ Ὑψικρέων, ἱκέτις προσκαθίζετο ἐπὶ τῆς ἑστίας τῆς ἐν τῷ πρυτανείῳ. (4) οἱ δὲ Νάξιοι λιπαροῦντι τῷ Ὑψικρέοντι ἐκδώσειν μὲν οὐκ ἔφασαν, ἐκέλευον μέντοι πείσαντα αὐτὴν ἄγεσθαι. δόξας δὲ ὁ Ὑψικρέων ἀσεβεῖσθαι πείθει Μιλησίους πολεμεῖν τοῖς Ναξίοις.

XIX. Περὶ Παγκρατοῦς.

Ἱστορεῖ Ἀνδρίσκος ἐν Ναξιακῶν β̄.

Σκέλλις δὲ καὶ Ἀγασσαμενὸς Ἑκήτορος οἱ Θρᾷκες ὁρμήσαντες ἀπὸ νήσου τῆς πρότερον μὲν Στρογγύλης,

FAB. XIX. *Cf. Diod. Biblioth. V 50 (ex alio fonte).*

1 ὑπεισέρχεται *Legr* 2 πρῶτον *Legr* πρῶτα *Palairet. ap. Peerlkamp. ad Xen. Eph. I 15 pg. 189:* πρώτη P *de locutione* οἷα τε ἦν *c. inf. cf. May pg. 16* 3 ἐνεδίδου *Hey:* ἐδίδου P Ἑταιρεῖον *Pass* 10 ἱκέτις *Legr:* ἱκέτησ P προσεκαθίζετο *Legr* 14 ἀδικεῖσθαι *Legr* 15 ⟨τοὺς⟩ Μιλ. *idem* 17 Ἀνδρίσκος] *Cf. Muelleri Frag. Hist. Gr. IV 303 sqq.* 18 sqq. *initium fab. in* P *graviter corruptum. praebet enim:* σκέλλισ (ι *in ras.* P¹) τε καὶ κασσαμενοσ (*ult.* σ *in ras.* P¹) κήτοροσ οἱ θράικησ. Σκέλλις *nomen incolume; nomen* Σικελός *apud Diod. l. ss. corruptum. in* κήτορος *latere* Ἑκήτορος *(cf. Diod. l. l.) pervidit Kramerus Strab. vol. II pg. 387.*

ὕστερον δὲ Νάξου κληθείσης, ἐληΐζοντο μὲν τήν τε Πελοπόννησον καὶ τὰς πέριξ νήσους· προσσχόντες δὲ Θεσσα|λίᾳ πολλάς τε ἄλλας γυναῖκας κατέσυραν, ἐν fol. 184r *δὲ καὶ τὴν Ἀλωέως γυναῖκα Ἰφιμέδην καὶ θυγατέρα αὐτῆς Παγκρατώ. ἧς ἀμφότεροι εἰς ἔρωτα ἀφικόμενοι ἀλλήλους κατέκτειναν.*

XX. Περὶ Ἀεροῦς.

Λέγεται δὲ καὶ Οἰνοπίωνος καὶ νύμφης Ἑλίκης ⟨ἐν Χίῳ⟩ Ἀερὼ κόρην γενέσθαι. ταύτης δὲ Ὠρίωνα τὸν Ὑριέως ἐρασθέντα παρ᾽ αὐτοῦ παραιτεῖσθαι τὴν κόρην καὶ διὰ ταύτην τήν τε νῆσον ἐξημερῶσαι τότε θηρίων

FAB. XX. *Cf. Hesiodum ap. Eratosth. Cat. XXXII (p. 162 sqq. R.); Apollod. Biblioth. I 4, 3 sqq. (pg. 12, 17 sqq. W.); Arati Phaen. v. 636 sqq. cum adn. Theonis (pg. 461 M.)*

---

quam formam secundum graecae linguae leges tantum genetivum esse posse recte statuit G. Knaackius. idem v. d. perspexit pro κασσαμενο[σ] ex Diodori l. l. revocandam esse formam Ἀγασσαμενός. denique cum Legr pro θράικησ scrib. censeo Θρᾷκες. ut totus locus legatur: Σκέλλις — καὶ Ἀγασσαμενὸς Ἑκήτορος οἱ Θρᾷκες κτλ. (in articulo [οἱ] ante vocem Ἑκήτορος omisso non offendendum: vid. Kruegeri art. gr. 47, 5, 4). Knaackius ipse cum Gal pro οἱ θράικης legit ἐκ Θρᾴκης locumque sic constituit: Σκέλλις — καὶ Ἀγασσαμενὸς ⟨οἱ⟩ Ἑκήτορος ἐκ Θρᾴκης κτἑ. futtilia vetera commenta, cum Diodorum non respiciant δὲ Her Hermae vol. XII (1877) pg. 310 not. 2: τε P

2 *προσχόντεσ* P 4 *Ἀλωέως Diod. l. l.: ἀλωέωσ* P *⟨τὴν⟩ θυγ. Her* 7 *Ἀεροῦς ex schol. Nic. Ther. 15 rest. G. Knaackius Ἡροῦς Pass Μαιροῦς Mein Philol. XIV (1855) pg. 8 Πηροῦς Her (cf. tam. not. v. 9) Μεροῦς Maassius Phil. Unters. VI pg. 129 not. 109:* ΑΙΡΟὙC P 8 *⟨ἐν Χίῳ⟩ G. Knaackius (ut sit quo referri possit τὴν νῆσον v. 11)* 9 *Ἀερὼ G. Knaackius: αἰρὼ* P *pro Αἰρὼ κόρην scribi volt Μερόπην Her Hermae vol. XII (1877) pg. 147* *ὠρίωνα constanter* P 10 *παρὰ τοῦ πατρὸς αἰτεῖσθαι Legr (verum cf. May pg. 59)*

ἀνάπλεων οὖσαν λείαν τε πολλὴν περιελαύνοντα τῶν προσχώρων ἕδνα διδόναι. (2) τοῦ μέντοι Οἰνοπίωνος ἑκάστοτε ὑπερτιθεμένου τὸν γάμον διὰ τὸ ἀποστυγεῖν αὐτῷ γαμβρὸν τοιοῦτον γενέσθαι, ὑπὸ μέθης ἔκφρονα γενόμενον τὸν Ὠρίωνα κατᾶξαι τὸν θάλαμον, [καὶ] ἔνθα ἡ παῖς ἐκοιμᾶτο, καὶ βιαζόμενον ἐκκαῆναι τοὺς ὀφθαλμοὺς ὑπὸ τοῦ Οἰνοπίωνος.

XXI. Περὶ Πεισιδίκης.

Λέγεται δὲ καί, ὅτε Ἀχιλλεὺς πλέων τὰς προσεχεῖς τῇ ἠπείρῳ νήσους ἐπόρθει, προσσχεῖν αὐτὸν Λέσβῳ. ἔνθα δὴ καθ' ἑκάστην τῶν πόλεων αὐτὸν ἐπιόντα κεραΐζειν. (2) ὡς δὲ οἱ Μήθυμναν οἰκοῦντες μάλα κρατερῶς ἀντεῖχον καὶ ἐν πολλῇ ἀμηχανίᾳ ἦν διὰ τὸ μὴ δύνασθαι ἑλεῖν τὴν πόλιν, Πεισιδίκην τινὰ Μηθυμναίαν, τοῦ βασιλέως θυγατέρα, θεασαμένην ἀπὸ τοῦ τείχους τὸν Ἀχιλλέα ἐρασθῆναι αὐτοῦ καὶ οὕτως τὴν τροφὸν διαπεμψαμένην ὑπισχνεῖσθαι ἐγχειρίσειν αὐτῷ τὴν πόλιν, εἴγε μέλλοι αὐτὴν γυναῖκα ἕξειν. (3) ὁ δὲ τὸ μὲν παραυτίκα καθωμολογήσατο. ἐπεὶ μέντοι ἐγκρατὴς ⟨τῆς⟩ πόλεως ἐγένετο, νεμεσήσας ἐπὶ τῷ δρασθέντι προὐτρέψατο τοὺς στρατιώτας καταλεῦσαι τὴν κόρην. μέμνηται τοῦ πάθους τοῦδε καὶ ὁ τὴν Λέσβου κτίσιν ποιήσας ἐν τοῖσδε·

FAB. XXI. *Cf. Plehnii Lesbiacorum (Berol. 1828) pg. 36, Sittelium Philol. vol. XLIV (1885) pg. 212 not. 46, Wilamowitzii Lect. epigr. II (Goett. 1885) pg. 14, W. Schulzeum Goett. gel. Anz. 1897 pg. 909.*

4 τοῦτον *Zang* 5 [καὶ] *Hey* 10 προσχεῖν P 13 καρτερῶς *Legr* 14 Π. τὴν τοῦ Μηθυμναίων βασιλέως θ. *Legr* Π. τὴν [Μηθυμναίαν] τοῦ βασιλέως θ. *Mein* 17 ἐγχειριεῖν *Hir* 20 ⟨τῆς⟩ *Schneiderus* 22 μέμνηται ⟨δὲ⟩ *Her*

ἔνθα | δὲ Πηλείδης κατὰ μὲν κτάνε Λάμπετον ἥρω, fol. 184ᵛ
ἐκ δ' Ἱκετάονα πέφνεν, ἰθαιγενέος Λεπετύμνου
υἱέα Μηθύμνης τε, καὶ ἀλκηέστατον ἄλλων
αὐτοκασίγνητον Ἑλικάονος ἔνδοθι πάτρης
†τηλίκον Ὑψίπυλον· θαλερὴ δέ μιν ἄασε Κύπρις.
ἡ γὰρ ἐπ' Αἰακίδῃ κούρῃ φρένας ἐπτοίησεν
Πεισιδίκῃ, ὅτε τόν γε μετὰ προμάχοισιν Ἀχαιῶν
χάρμῃ ἀγαλλόμενον θηέσκετο, πολλὰ δ' ἐς ὑγρὴν
ἠέρα χεῖρας ἔτεινεν ἐελδομένη φιλότητος.

εἶτα μικρὸν ὑποβάς·

δέκτο μὲν αὐτίκα λαὸν Ἀχαιϊκὸν ἔνδοθι πάτρης
παρθενικὴ κληῖδας ὑποχλίσσασα πυλάων·
ἔτλη δ' οἷσιν ἰδέσθαι ἐν ὀφθαλμοῖσι τοκῆας
χαλκῷ ἐληλαμένους καὶ δούλια δεσμὰ γυναικῶν
ἑλκομένων ἐπὶ νῆας ὑποσχεσίης Ἀχιλῆος,
ὄφρα νυὸς γλαυκῆς Θέτιδος πέλοι, ὄφρα οἱ εἶεν
πενθεροὶ Αἰακίδαι, Φθίῃ δ' ἔνι δώματα ναίοι
ἀνδρὸς ἀριστῆος πινυτὴ δάμαρ· οὐδ' ὅγ' ἔμελλεν
τὰ ῥέξειν, ὀλοῷ δ' ἐπαγάσσατο πατρίδος οἴτῳ.
ἔνθ' ἥγ' αἰνότατον γάμον εἴσιδε Πηλείδαο
Ἀργείων ὑπὸ χερσὶ δυσάμμορος, οἵ μιν ἔπεφνον
πανσυδίῃ θαμινῇσιν ἀράσσοντες λιθάδεσσιν.

---

1 ἔνθα δὲ *Mein:* ἐνθάδε P λάμπεδον P *pro* ἥρω *rest. vol.* Ἶρον *(cl. Steph. Byz. s. v.* Λαμπέτειον*) Gal* 2 κἀδ δ' Ἰκ. *idem* ἰθαιγενέος *idem:* ἰθαγενέοσ P 5 τηλίκον ὑψίπυλον P: *in posteriore vocabulo inesse nomen proprium* Ὑψίπυλον *cognovit Corn.* τηλίκον *corruptum; in eo delitescere epitheton ornans ad* Ὑψ. *pertinens probabilis est G. Knaackii coniectura; contra verbum finitum (e. gr.* πρήνισεν*) requirit Ro post n.* Ὑψίπυλον *lacunam esse putat G. Knaackius* 6 ἢ P κούρης — (7) Πεισιδίκης *Hey* 8 θηέσκετο *Gal:* θυέσκετο P 11 μὲν *Legr:* μὰν P Ἀχαϊκὸν *Her* 16 ἤεν P 17 ἔνι *Mein:* ἐν P 18 μνηστὴ δάμαρ *Legr* 19 δ' ἐπαγάσσατο *Gal:* δὲ παγάσσετο P

XXII. Περὶ Νανίδος.

Ἡ ἱστορία παρὰ Λικυμνίῳ τῷ Χίῳ μελοποιῷ καὶ Ἑρμησιάνακτι.

Ἔφασαν δέ τινες καὶ τὴν Σαρδίων ἀκρόπολιν ὑπὸ Κύρου τοῦ Περσῶν βασιλέως ἁλῶναι προδούσης τῆς Κροίσου θυγατρὸς Νανίδος. ἐπειδὴ γὰρ ἐπολιόρκει Σάρδεις Κῦρος καὶ οὐδὲν αὐτῷ εἰς ἅλωσιν τῆς πόλεως προὔβαινεν ἔν πολλῷ τε δέει ἦν, μὴ ἀθροισθὲν τὸ συμμαχικὸν †αὐτῆς τῷ Κροίσῳ διαλύσειεν αὐτῷ τὴν στρατιάν, τότε τὴν παρθένον ταύτην ἔχει λόγος περὶ προδοσίας συνθεμένην τῷ Κύρῳ, εἰ κατὰ νόμους Περσῶν ἕξει γυναῖκα αὐτήν, κατὰ τὴν ἄκραν μηδενὸς fol. 185r *φυλάσσοντος δι' ὀχυρότητα τοῦ χωρίου | εἰσδέχεσθαι τοὺς πολεμίους συνεργῶν αὐτῇ καὶ ἄλλων τινῶν γενομένων. τὸν μέντοι Κῦρον μὴ ἐμπεδῶσαι αὐτῇ τὴν ὑπόσχεσιν.*

XXIII. Περὶ Χειλωνίδος.

Κλεώνυμος ⟨δὲ⟩ ὁ Λακεδαιμόνιος βασιλείου γένους ὢν καὶ πολλὰ κατορθωσάμενος Λακεδαιμονίοις ἔγημε

FAB. XXII. *Aliter rem narrat Herod. I 84.*
FAB. XXIII. *Cf. Plut. Pyrrh. XXVI 13 proxx.*

2 *Λικυμνίῳ τῷ Χίῳ*] *Cf. Bergk. Poet. lyr. Gr. III*[4] *pg. 599* 3 *Ἑρμησιάνακτι*] *Cf. Hermes. rell. conl. Bachius (1829) pg. 184 et Muelleri Frag. Hist. Gr. IV 428 (Rohdii Gr. Rom.*[2] *pg. 88 not. 2)* 7 *Σάρδις Her Hermae vol. XII (1877) pg. 147* 9 *αὐτῆς mendosum: seclusit Hey probante Herchero, in αὖτις mut. Cob (vix recte) τοῦ Κροίσου Her [τῷ Κροίσῳ] Sak διαλύσειεν Legr: διαλύσει* P 10 *ἔχει Legr (cf. XXVII § 1): εἶχε* P 13 *εἰσδέξασθαι Legr* 14 *γινομένων Her* 17 *Cf. Muelleri Frag. Hist. Gr. I 349 sqq.*
ΧΕΙΛΩΝΙΔΟϹ, ΕΙ *in ras.* P[1] *(libri Plutarchei conspirant in forma*

Χειλωνίδα προσήκουσαν αὐτῷ κατὰ γένος. ταύτῃ σφοδρῶς ἐπιτεταμένου τοῦ Κλεωνύμου καὶ τὸν ἔρωτα οὐκ ἠρέμα φέροντος, τοῦ μὲν κατηλόγει, πᾶσα δὲ ἐνέκειτο Ἀκροτάτῳ, τῷ τοῦ βασιλέως υἱεῖ. (2) *καὶ γὰρ ὁ μειρακίσκος αὐτῆς ἀναφανδὸν ὑπεκαίετο, ὥστε πάντας ἀνὰ στόμα ἔχειν τὴν ὁμιλίαν αὐτῶν. δι' ἣν αἰτίαν δυσανασχετήσας ὁ Κλεώνυμος καὶ ἄλλως δὲ οὐκ ἀρεσκόμενος τοῖς Λακεδαιμονίοις ἔθεσιν ἐπεραιώθη πρὸς Πύρρον εἰς Ἤπειρον καὶ αὐτὸν ἀναπείθει πειρᾶσθαι τῆς Πελοποννήσου ὡς, εἴγε ἐντόνως ἅψαιντο τοῦ πολέμου, ῥᾳδίως ἐκπολιορκήσοντες τὰς ἐν αὐτῇ πόλεις. ἔφη δὲ καὶ αὐτῷ τι ἤδη προδιειργάσθαι, ὥστε καὶ στάσιν ἐγγενέσθαι τισὶ τῶν πόλεων.* * * * * * * * * * * *

XXIV. Περὶ Ἱππαρίνου.

Ἱππαρῖνος δὲ Συρακοσίων τύραννος εἰς ἐπιθυμίαν ἀφίκετο πάνυ καλοῦ παιδός (Ἀχαιὸς αὐτῷ ὄνομα)· τοῦτον ἐξαλλάγμασι πολλοῖς ὑπαγόμενος πείθει τὴν

FAB. XXIV. *Cf. Theopomp. ap. Athen. X 436 A (Muelleri Frag. Hist. Gr. I 312). ex Phaniae libro περὶ τῶν ἐν Σικελίᾳ τυράννων hanc narrationem manasse (cf. cap. VII) ci. Duemmlerus Mus. Rhen. vol. XLII (1887) pg. 184 not. 1.*

Χιλωνίς) p. 78, 18 ⟨*δὲ*⟩ *Mein Philol. XIV (1855) pg. 7* 19 *κατορθώσας Hir*

2 *ἐπιτεταγμένου (h. e. ἐπιτεταμένου)* P 4 *Ἀκροτάτῳ (cl. Plut. l. l. et Pausan. III 6, 3) Corn: ἀποκροτάτωι* P 6 *αὐτῶν Gal: αὐτῶι* P 8 *ἔθεσιν Gal: ἤθεσιν* P 10 *εἴγε Her εἰ⟨εὖ⟩καὶ Ro: εἰ καὶ* P 11 *αὐτῇ Gal: αὐτοῖσ, οῖ in ras.* P[1] 13 *πόλεων Hey (cf. Bast pg. 240): πολεμίων* P *lacunam indicavit Eug. Oder De Antonin. Lib. (Bonnae 1886) pg. 62* 16 *δ' ὁ Συρ. Hir* 18 *τοῦτον* ⟨*οὖν*⟩ *Legr μειλίγμασι vel ἀνταλλάγμασι idem (sed vide Bekkeri Anecd. Gr. pg. 96, 4 et Ell pg. 227)*

οἰκίαν ἀπολιπόντα σὺν αὐτῷ μένειν. χρόνου δὲ προϊόντος ὡς πολεμίων τις ἔφοδος προσηγγέλη πρός τι τῶν ὑπ' ἐκείνου κατεχομένων χωρίων καὶ ἔδει κατὰ τάχος βοηθεῖν, ἐξορμῶν ὁ Ἱππαρῖνος παρεκελεύσατο τῷ παιδί, εἴτις ἐντὸς τῆς αὐλῆς βιάζοιτο, κατακαίνειν αὐτὸν τῇ σπάθῃ, ἣν ἐτύγχανεν αὐτῷ κεχαρισμένος. (2) *καὶ ἐπειδὴ συμβαλὼν τοῖς πολεμίοις κατὰ κράτος αὐτοὺς* fol. 185v *εἷλεν, ἐπὶ πολὺν οἶνον ἐτράπετο καὶ συνουσίαν·* | *ἐκκαιόμενος δὲ ὑπὸ μέθης καὶ πόθου τοῦ παιδὸς ἀφίππευσεν εἰς τὰς Συρακούσας καὶ παραγενόμενος ἐπὶ τὴν οἰκίαν, ἔνθα τῷ παιδὶ παρεκελεύσατο μένειν, ὃς μὲν ἦν οὐκ ἐδήλου, θετταλίζων δὲ τῇ φωνῇ τὸν Ἱππαρῖνον ἔφησεν ἀπεκτονηκέναι. ὁ δὲ παῖς διαγανακτήσας σκότους ὄντος παίει καιρίαν τὸν Ἱππαρῖνον· ὁ δὲ τρεῖς ἡμέρας ἐπιβιοὺς καὶ τοῦ φόνου τὸν Ἀχαιὸν ἀπολύσας ἐτελεύτησεν.*

XXV. Περὶ Φαΰλλου.

Ἱστορεῖ Φύλαρχος.

Φάϋλλος δὲ τύραννος ἠράσθη τῆς Ἀρίστωνος γυναικός, ὃς Οἰταίων προστάτης ἦν. οὗτος διαπεμπόμενος πρὸς αὐτὴν χρυσόν τε πολὺν καὶ ἄργυρον ἐπηγγέλλετο δώσειν εἴ τε τινὸς ἄλλου δέοιτο, φράζειν ἐκέλευεν ὡς οὐχ ἁμαρτησομένην. (2) *τὴν δ' ἄρα πολὺς εἶχε πόθος ὅρμου τοῦ τότε κειμένου ἐν τῷ τῆς Προ-*

FAB. XXV. *Cf. Zonar. lex. ed. Tittm. pg. 1435: Οἰταῖον ὄρος, καὶ Οἰταῖος ὁ ἀπὸ τῆς Οἴτης παρὰ Παρθενίῳ.*

12 ὅσ⟨τις⟩ *Sak (sed cf. May pg. 43)* ψελλίζων *Mein Philol. vol. XIV (1855) pg. 8* 13 ἀπεκτονέναι *Cob* 18 *Cf. Muelleri Frag. Hist. Gr. I 353* 19 δ' ὁ τύρ. *Hir* 24 Προναίας *Wesselingius ad Diod. Sic. XI 14*

νοίας Ἀθηνᾶς ἱερῷ, ὃν εἶχε λόγος Ἐριφύλης γεγονέναι, ἠξίου τε ταύτης τῆς δωρεᾶς τυχεῖν. Φάϋλλος δὲ τά τε ἄλλα κατασύρων ἐκ Δελφῶν ἀναθήματα ἀναιρεῖται καὶ τὸν ὅρμον. (3) *ἐπεὶ δὲ διεκομίσθη εἰς οἶκον τὸν Ἀρίστωνος, χρόνον μέν τινα ἐφόρει αὐτὸν ἡ γυνὴ μάλα περίπυστος οὖσα, μετὰ δὲ ταῦτα παραπλήσιον αὐτῇ πάθος συνέβη τῶν περὶ τὴν Ἐριφύλην γενομένων. ὁ γὰρ νεώτερος τῶν υἱῶν αὐτῆς μανεὶς τὴν οἰκίαν ὑφῆψε καὶ τήν τε μητέρα καὶ τὰ πολλὰ τῶν κτημάτων κατέφλεξεν.*

XXVI. Περὶ Ἀπριάτης.

Ἱστορεῖ Εὐφορίων Θρᾳκί.

Ἐν ⟨δὲ⟩ Λέσβῳ παιδὸς Ἀπριάτης Τράμβηλος ὁ Τελαμῶνος ἐρασθεὶς πολλὰ ἐποιεῖτο εἰς τὸ προσαγαγέσθαι τὴν κόρην. ὡς δὲ ἐκείνη οὐ πάνυ ἐνεδίδου, ἐνενοεῖτο | *δόλῳ καὶ ἀπάτῃ περιγενέσθαι αὐτῆς.* (2) *πο-* fol. 186r *ρευομένην οὖν ποτε σὺν θεραπαινιδίοις ἐπί τι τῶν πατρῴων χωρίων, ὃ πλησίον τῆς θαλάσσης ἔκειτο, λοχήσας εἷλεν. ὡς δὲ ἐκείνη πολὺ μᾶλλον ἀπεμάχετο περὶ τῆς παρθενίας, ὀργισθεὶς Τράμβηλος ἔρριψεν*

FAB. XXVI. *Cf. Istri frg. 22 (Muelleri Frag. Hist. Gr. I 421) et Aristobuli frg. 3 (Muelleri Frag. Script. Alex. M. pg. 97). de fabula expos. Tuempelius Philol. N. S. III (1890) pg. 107 sqq.*

(sed cf. Lennep. ad Phalar. pg. 343 et Hermanni Opusc. vol. VI 2 pg. 17)

3 *κατασυλῶν Legr* 4 *ἐκομίσθη Cob* 6 *περίπυστον ὄντα Hey μετὰ δὲ [ταῦτα] Hir* 7 *τῷ — γενομένῳ Schneiderus (at v. May p. 33) γενομένων Gal: γινομένων* P 12 *Εὐφορίων*] *Cf. Meinekii Anal. Alex. pg. 57 et Muelleri Frag. Hist. Gr. IV 335* 13 *⟨δὲ⟩ Mein* 14 *προσάγεσθαι Cob* 15 *ἐνενοεῖτο Bast: ἐνενόει τὸ* P

γρ. Ἀριστόκριτος ἐν τοῖς περὶ Μιλήτου

αὐτὴν εἰς τὴν θάλασσαν· ἐτύγχανε δὲ ἀγχιβαθὴς οὖσα. καὶ ἡ μὲν ἄρα οὕτως ἀπολώλει. τινὲς μέντοι ἔφασαν διωκομένην ἑαυτὴν ῥῖψαι. (3) *Τράμβηλον δὲ οὐ πολὺ μετέπειτα τίσις ἐλάμβανεν ἐκ θεῶν. ἐπειδὴ γὰρ Ἀχιλλεὺς ἐκ τῆς Λέσβου πολλὴν λείαν ἀποτεμόμενος ἤγαγεν, οὗτος ἐπαγομένων αὐτὸν τῶν ἐγχωρίων βοηθὸν συνίσταται αὐτῷ.* (4) *ἔνθα δὴ πληγεὶς εἰς τὰ στέρνα παραχρῆμα πίπτει. ἀγάμενος δὲ τῆς ἀλκῆς αὐτὸν Ἀχιλλεὺς ἔτι ἔμπνουν ἀνέκρινεν, ὅστις τε ἦν καὶ ὁπόθεν. ἐπεὶ δὲ ἔγνω παῖδα Τελαμῶνος ὄντα, πολλὰ κατοδυρόμενος ἐπὶ τῆς ἠϊόνος μέγα χῶμα ἔχωσε· τοῦτο ἔτι νῦν ἡρῷον Τραμβήλου καλεῖται.*

XXVII. Περὶ Ἀλκινόης.

Ἱστορεῖ Μοιρὼ ἐν ταῖς Ἀραῖς.

Ἔχει δὲ λόγος καὶ Ἀλκινόην τὴν Πολύβου μὲν τοῦ Κορινθίου θυγατέρα, γυναῖκα δὲ Ἀμφιλόχου τοῦ Δρύαντος, κατὰ μῆνιν Ἀθηνᾶς ἐπιμανῆναι ξένῳ Σαμίῳ (*Ξάνθος αὐτῷ ὄνομα*). *ἐπὶ μισθῷ γὰρ αὐτὴν ἀγαγομένην χερνῆτιν γυναῖκα Νικάνδρην* [*καὶ*] *ἐργασαμένην ἐνιαυτὸν ὕστερον ἐκ τῶν οἰκείων ἐλάσαι μὴ ἐντελῆ τὸν μισθὸν ἀποδοῦσαν· τὴν δὲ ἀράσασθαι πολλὰ Ἀθηνᾷ τίσασθαι αὐτὴν ἀντ' ἀδίκου στερήσεως.* (2) *ὅθεν εἰς τοσοῦτον* [*τε*] *ἐλθεῖν, ὥστε ἀπολιπεῖν οἶκόν τε καὶ*

---

2 ἀπωλώλει *Her (sed cf. May pg. 27)* ἀπόλωλε *Cob* 7 ἐπαγαγομένων *Her* 11 κατοδυράμενος *Mein (sed v. cap. X § 4)* 12 ἡρίον Τρ. *nescio an recte Mein* 14 περὶ ἀλκινόης *litteris minusculis adscripsit* P^2 20 [καὶ] *Ro* 21 οἰκίων *Schneiderus* 24 τοσοῦτον [τε] *Peerlkampius in Bibl. crit. nov. II pg. 218* τοσοῦτόν τε ⟨μανίας⟩ *Gal (falso de h. l. iud. May pg. 56)*

παῖδας ἤδη γεγονότας συνεκπλεῦσαί τε τῷ Ξάνθῳ. γενομένην δὲ κατὰ μέσον πόρον ἔννοιαν λαβεῖν τῶν εἰργασμένων καὶ αὐτίκα πολλά τε δάκρυα προΐεσθαι καὶ ἀνακαλεῖν ὁτὲ μὲν ἄνδρα κουρίδιον, ὁτὲ δὲ τοὺς παῖδας. τέλος δὲ πολλὰ τοῦ Ξάνθου παρηγοροῦντος καὶ φαμένου γυναῖκα ἕξειν μὴ πειθομένην ῥῖ|ψαι ἑαυτὴν εἰς θάλασσαν. fol. 186ᵛ

XXVIII. Περὶ Κλείτης.

Ἱστορεῖ Εὐφορίων Ἀπολλοδώρῳ, τὰ ἑξῆς Ἀπολλώνιος Ἀργοναυτικῶν ᾱ.

Διαφόρως δὲ ἱστορεῖται περὶ Κυζίκου τοῦ †αἰνέου. οἱ μὲν γὰρ αὐτὸν ἔφασαν ἁρμοσάμενον Λάρισαν τὴν Πιάσου, ᾗ ὁ πατὴρ ἐμίγη πρὸ γάμου, μαχόμενον ἀποθανεῖν, τινὲς δὲ προσφάτως γήμαντα Κλείτην συμβαλεῖν δι᾽ ἄγνοιαν τοῖς μετὰ Ἰάσονος ἐπὶ τῆς Ἀργοῦς

FAB. XXVIII. *Ad v. 12—14 cf. Euphorionis frg. IV (Meinekii Anal. Alex. pg. 40 proxx.), Nicol. Damasc. frg. 19 (Muelleri Frag. Hist. Gr. III 368), Strabon. XIII 621 C, Aeliani frg. 216 H.; ad v. 14 sqq. cf. Deilochi frg. 4 et 8 (Muelleri Frag. Hist. Gr. II 17 et 18), Neanthis frg. 34 (Muelleri Frag. Hist. Gr. III 11), Cononis Narrat. cap. XLI (cuius fontem esse Ephorum comprobavit Knaackius De fab. nonnullis Cyz. [= Comm. philol. in hon. sodal. philol. Gryph., Berol. 1887] pg. 33 sqq.) ad rem cf. etiam Rohdii Griech. Rom.² pg. 124 not.*

---

9 *Εὐφορίων*] *cf. Meinekii Anal. Alex. pg. 41 sqq.* τὰ ⟨δ᾽⟩ ἑξῆς *Hir* *Ἀπολλώνιος Ἀργοναυτικῶν ᾱ*] *vs. 936—1076* 11 *αἰνέου corruptum: aut Αἰνέως (cl. schol. Apoll. Rh. I 948) reponendum cum Gal aut exarandum Αἴνου (cf. Tuempelium in Paulyi-Wissow. Realencycl. s. v. Aineus)* 12 *Λάρισσαν edd. vet. (sed vid. W. Schulze Goett. gel. Anz. 1897 pg. 883)*

πλέουσι καὶ οὕτως πεσόντα πᾶσι μεγάλως ἀλγεινὸν πόθον ἐμβαλεῖν, ἐξόχως δὲ τῇ Κλείτῃ. (2) ἰδοῦσα γὰρ αὐτὸν ἐρριμμένον περιεχύθη καὶ πολλὰ κατωδύρατο, νύκτωρ δὲ λαθοῦσα τὰς θεραπαινίδας ἀπό τινος δένδρου ἀνήρτησεν ⟨ἑαυτήν⟩.

XXIX. Περὶ Δάφνιδος.

Ἱστορεῖ Τίμαιος Σικελικοῖς.

Ἐν Σικελίᾳ δὲ Δάφνις Ἑρμοῦ παῖς ἐγένετο, σύριγγι †δή τε δεξιῶς χρήσασθαι καὶ τὴν ἰδέαν ἐκπρεπής. οὗτος εἰς μὲν τὸν πολὺν ὅμιλον ἀνδρῶν οὐ κατῄει· βουκολῶν δὲ κατὰ τὴν Αἴτνην χείματός τε καὶ θέρους ἠγραύλει. τούτου λέγουσιν Ἐχεναΐδα νύμφην ἐρασθεῖσαν παρακελεύσασθαι αὐτῷ γυναικὶ μὴ πλησιάζειν· μὴ πειθομένου γὰρ αὐτοῦ συμβήσεσθαι τὰς ὄψεις ἀποβαλεῖν. (2) ὁ δὲ χρόνον μέν τινα καρτερῶς ἀντεῖχεν,

---

FAB. XXIX. *Cf. Diod. Biblioth. IV 84 (Geffcken. Tim. Geogr. d. West. [Berol. 1892] pg. 118), Aelian. Var. hist. X 18, Ps.-Servium ad Verg. Eclog. V 20, Philargyrium ad eundem Vergili locum. Timaeum fontem harum narrationum esse evicit Reitzensteinus Epigramm u. Skolion (Giessae 1893) pg. 197 sqq.*

---

1 *pro* μεγάλως *scribi volt* μὲν τοῖς ἄλλοις *Her* μέγα *Ro* μὲν *Houtsma Musei vol. IV (1896) nr. 3* 3 περιεχύθη *Legr (cf. Zang):* περιεσχέθη P 5 ⟨ἑαυτήν⟩ *Goensius Obs. misc. pg. 54* 7 Τίμαιος] *Cf. Muelleri Frag. Hist. Gr. I 193 et Geffckenum l. l. pg. 119* 8 ⟨οἷος⟩ σύρ. *Schmidtius Beitr. z. den gr. Erot. pg. 2* 9 δή τε *mendose* P: τε δὴ *Pass* δή τι *Jac ad Philostr. pg. 455* δῆτα *ipse tentavi;* δὴ [τε] *Scaligerus* [δή] τε *Legr; adiectivum (velut* ἐπιτήδειος*) latere suspicatur Kayserus* *pro* δεξιῶς *scrib. cens.* δεξιὸς *(quod mihi quoque utique necessarium videtur) Gal* χρῆσθαι *Scaligerus* εὐπρεπής *Schneiderus* 14 πειθομένῳ γ. αὐτῷ *Legr* συμβήσεσθαι *Legr:* συμβήσεται P

καίπερ οὐκ ὀλίγων ἐπιμαινομένων αὐτῷ. ὕστερον δὲ μία τῶν κατὰ τὴν Σικελίαν βασιλίδων οἴνῳ πολλῷ δηλησαμένη αὐτὸν ἤγαγεν εἰς ἐπιθυμίαν αὐτῇ μιγῆναι. καὶ οὕτως ἐκ τοῦδε ὁμοίως Θαμύρᾳ τῷ Θρᾳκὶ δι' ἀφροσύνην ἐπεπήρωτο.

XXX. Περὶ Κελτίνης.

Λέγεται δὲ καὶ Ἡρακλέα, ὅτε ἀπ' Ἐρυθείας τὰς Γηρυόνου βοῦς ἤγαγεν, ἀλώμενον διὰ τῆς Κελτῶν χώρας ἀφικέσθαι παρὰ Βρεταννόν· τῷ δὲ ἄρα ὑπάρχειν θυγατέρα Κελτίνην ὄνομα. ταύτην δὲ ἐρασθεῖσαν τοῦ Ἡρακλέους κατακρύψαι τὰς βοῦς μὴ θέλειν τε ἀποδοῦναι, εἰ μὴ πρότερον αὐτῇ μιχθῆναι. | (2) τὸν δὲ fol. 187r *Ἡρακλέα τὸ μέν τι καὶ τὰς βοῦς ἐπειγόμενον ἀνασώσασθαι, πολὺ μᾶλλον μέντοι τὸ κάλλος ἐκπλαγέντα τῆς κόρης συγγενέσθαι αὐτῇ· καὶ αὐτοῖς χρόνου περιήκοντος γενέσθαι παῖδα Κελτόν, ἀφ' οὗ δὴ Κελτοὶ προσηγορεύθησαν.*

XXXI. Περὶ Θυμοίτου.

Ἱστορεῖ Φύλαρχος.

Λέγεται δὲ καὶ Θυμοίτην ἁρμόσασθαι μὲν Τροιζῆνος τἀδελφοῦ θυγατέρα Εὐῶπιν· αἰσθανόμενον δὲ συνοῦσαν

FAB. XXX. *Cf. Etymol. Magn. s. v. Βρεττανοί et Κελτοί (Herod. IV 9).*

FAB. XXXI. *Disceptavit de hac fabula Maassius Gött. gel. Anz. 1889 nr. 20 pg. 826 proxx.*

---

3 αὐτῇ *Hey*: αὐτῷ P 4 οὕτως *Hey*: οὗτοσ P 12 μιγείη *Her* (*verum vid. May pg. 48*) 18 Θυμοίτου *Maassius l. l. pg. 827*: ΔΙΜΟΙΤΟΥ P (*Διμοίτης nomen graecum non esse perspexit Lo-*

αὐτὴν διὰ σφοδρὸν ἔρωτα τἀδελφῷ δηλῶσαι τῷ Τροιζῆνι. τὴν δὲ διά τε δέος καὶ αἰσχύνην ἀναρτῆσαι αὐτὴν πολλὰ πρότερον λυπηρὰ καταρασαμένην τῷ αἰτίῳ τῆς συμφορᾶς. (2) *ἔνθα δὴ τὸν Θυμοίτην μετ' οὐ πολὺν χρόνον ἐπιτυχεῖν γυναικὶ μάλα καλῇ τὴν ὄψιν ὑπὸ τῶν κυμάτων ἐκβεβλημένῃ καὶ αὐτῆς εἰς ἐπιθυμίαν ἐλθόντα συνεῖναι. ὡς δὲ ἤδη ἐνεδίδου τὸ σῶμα διὰ μῆκος χρόνου, χῶσαι αὐτῇ μέγαν τάφον καὶ οὕτως μὴ ἀνιέμενον ⟨ὑπὸ⟩ τοῦ πάθους ἐπικατασφάξαι αὐτόν.*

XXXII. Περὶ Ἀνθίππης.

Παρὰ δὲ Χάοσι μειρακίσκος τις τῶν πάνυ δοκίμων Ἀνθίππης ἠράσθη. ταύτην ὑπελθὼν πάσῃ μηχανῇ πείθει αὐτῷ συμμιγῆναι. ἡ δὲ ἄρα καὶ αὐτὴ οὐκ ἐκτὸς ἦν τοῦ πρὸς τὸν παῖδα πόθου. καὶ ἐκ τοῦδε λανθάνοντες τοὺς αὐτῶν γονεῖς ἐξεπίμπλασαν τὴν ἐπιθυμίαν. (2) *ἑορτῆς δέ ποτε τοῖς Χάοσι δημοτελοῦς ἀγομένης καὶ πάντων εὐωχουμένων ἀποσκεδασθέντες*

---

beckius Pathol. serm. Gr. prol. pg. 384; at tale nomen iuxta Troezenem requiritur. Maassii emendatio multa habet quibus commendetur) p. 85, 19 *Φύλαρχος*] *Cf. Muelleri Frag. Hist. Gr. I 357* 20 *διμοίτην hic et infra (§ 2)* P 21 *αἰσθανόμενον Hey: αἰσθανόμενοσ* P

2 *διά τε δέος Ro (cf. May pg. 41): διὰ τὸ δέοσ* P 3 *αὐτὴν* P *λυγρὰ Her* 6 *αὐτῇ Ro* 8 *καὶ οὕτως μὴ ἀνιέμενον ⟨ὑπὸ⟩ τοῦ πάθους scripsi conl. fab. XI § 3 (vid. etiam May pg. 22) καὶ οὕτω ⟨δὲ⟩ μὴ ἀνιέμενον τοῦ πάθους Maassius l. suprascr. pg. 826 et Zang καὶ οὕτως μὴ ἀνιεμένου τοῦ πάθους Sak καὶ οὕτως μὴ ἀνειμένον τοῦ πάθους May l. comm. l.; μηδὲ καὶ οὕτως ἀνιεμένου τοῦ πάθους Hey μηδὲ οὕτως ἀνιεμένου τοῦ πάθους Schneiderus; καὶ οὐδ' ὣς ἀνιεμένου τοῦ πάθους Jac add. anim. in Athen. pg. 148; καὶ τούτῳ (scil. τῷ τάφῳ) μὴ ἀνιέμενον τοῦ πάθους (conl. X § 4) Ro: καὶ οὕτωσ μὴ ἀνιέμενον τοῦ πάθουσ* P 12 *ταύτην Abreschius Lect. Aristaen. II 1 pg. 185: ταύτηι* P 13 *μιγῆναι Legr* 15 *αὐτῶν Her: αὐτῶν* P

εἴς τινα δρυμὸν κατειλήθησαν. ἔτυχεν δὲ ἄρα ὁ τοῦ βασιλέως υἱὸς Κίχυρος πάρδαλιν διώκων. ἧς συνελασθείσης εἰς ἐκεῖνον τὸν δρυμὸν ἀφίησιν ἐπ' αὐτὴν τὸν ἄκοντα· καὶ τῆς μὲν ἁμαρτάνει, τυγχάνει δὲ τῆς παιδός. (3) *ὑπολαβὼν δὲ τὸ θηρίον καταβεβληκέναι ἐγγυτέρω τὸν ἵππον προσελαύνει καὶ καταμαθὼν τὸ μειράκιον ἐπὶ τοῦ τραύματος τῆς παιδὸς ἔχον τὼ χεῖρε ἐκτός τε φρενῶν ἐγένετο καὶ περιδινηθεὶς ἀπολισθάνει τοῦ ἵππου εἰς χωρίον ἀπόκρημνον καὶ πετρῶδες.* | fol. 187r *ἔνθα δὴ ὁ μὲν ἐτεθνήκει, οἱ δὲ Χάονες τιμῶντες τὸν βασιλέα κατὰ τὸν αὐτὸν τόπον τείχη περιεβάλοντο καὶ τὴν πόλιν ἐκάλεσαν Κίχυρον.* (4) *φασὶ δέ τινες τὸν δρυμὸν ἐκεῖνον εἶναι τῆς Ἐχίονος θυγατρὸς Ἠπείρου, ἣν μεταναστᾶσαν ἐκ Βοιωτίας βαδίζειν μεθ' Ἁρμονίας καὶ Κάδμου φερομένην τὰ Πενθέως λείψανα, ἀποθανοῦσαν δὲ περὶ τὸν δρυμὸν τόνδε ταφῆναι· διὸ καὶ τὴν γῆν Ἤπειρον ἀπὸ ταύτης ὀνομασθῆναι.*

XXXIII. Περὶ Ἀϲϲάονοϲ.

Ἱϲτορεῖ Ξάνθοϲ Λυδιακοῖϲ καὶ Νεάνθηϲ β̄ καὶ Ϲιμίαϲ ὁ Ῥόδιοϲ.

Διαφόρως δὲ [καὶ] τοῖς πολλοῖς ἱστορεῖται καὶ τὰ Νιόβης· οὐ γὰρ Ταντάλου φασὶν αὐτὴν γενέσθαι,

---

FAB. XXXIII. *Cf. Xanthum ap. schol. Eurip. Phoen. v. 159 (frg. 13 M.), schol. Vict. ad Hom. Ω 602 (Eustath. ad Hom. Ω 614). de fabula diss. Thraemer Pergamos pg. 19 sqq.*

---

1 *κατεληλύθεισαν Hey* 2 *συνελασθείσησ* P[1], *post nescio quis erasit secundum σ: inde omnes editores συνελαθείσης* 8 *ἀπολισθαίνει Hey* 13 ⟨*τάφον*⟩ *εἶναι Ro* *Ἠπειροῦς Legr (sed vid. Crusium ap. Roscher. Mythol. Lex. s. v. Epeiros)*

ἀλλ' Ἀσσάονος μὲν θυγατέρα, Φιλόττου δὲ γυναῖκα, εἰς ἔριν δὲ ἀφικομένην Λητοῖ περὶ καλλιτεκνίας ὑποσχεῖν τίσιν τοιάνδε. (2) τὸν μὲν Φίλοττον ἐν κυνηγίᾳ διαφθαρῆναι· τὸν δὲ Ἀσσάονα τῆς θυγατρὸς πόθῳ σχόμενον αὐτὴν αὑτῷ γήμασθαι. μὴ ἐνδιδούσης δὲ τῆς Νιόβης τοὺς παῖδας αὐτῆς εἰς εὐωχίαν καλέσαντα καταπρῆσαι. (3) καὶ τὴν μὲν διὰ ταύτην τὴν συμφορὰν ἀπὸ πέτρας ὑψηλοτάτης αὑτὴν ῥῖψαι, ἔννοιαν δὲ λαβόντα τῶν σφετέρων ἁμαρτημάτων διαχρήσασθαι τὸν Ἀσσάονα ἑαυτόν.

XXXIV. Περὶ Κορύθου.

Ἱστορεῖ Ἑλλάνικος Τρωϊκῶν * καὶ Κεφάλων ὁ Γεργίθιος.

Ἐκ δὲ Οἰνώνης καὶ Ἀλεξάνδρου παῖς ἐγένετο Κόρυθος. οὗτος ἐπίκουρος ἀφικόμενος εἰς Ἴλιον Ἑλένης

FAB. XXXIV. *Cum pg. 88, 14—89, 3 cf. Conon. Narrat. cap. XXIII, Tzetz. ad Lycophr. Alex. v. 57; cum pg. 89, 3—8 cf. Tzetz. ad Lycophr. Alex. v. 851, eiusdem Homericorum v. 441, schol. Hom. δ 11, Dict. V 5 (Malalas pg. 140, Cedren. pg. 130).*

p. 87, 15 ⟨ἐπι⟩φερομένην *Her Hermae vol. XI (1876) pg. 226* 17 τὴν ⟨ταύτῃ⟩ γῆν *Zang* [ἀπὸ ταύτης] *Her l. l.* 19 Ξάνθος] *Cf. Muelleri Frag. Hist. Gr. I 39* Νεάνθης *Hey:* ΝΕΑΝΘΟϹ P] *Cf. Mueller. l. l. III 9* 20 Σιμίας *Cob (cf. Haeberlinum De carm. fig. pg. 45 proxx.):* ϹΙΜΜΙΑϹ P 21 [καὶ] *Mein, e contrario καὶ ante τὰ N. positum seclusit Sak* 22 φασί ⟨τινες⟩ *Ro*
1 ἀλλὰ Σάωνος *Her Hermae vol. XII (1877) pg. 147 (sed defenditur forma Ἀσσάων schol. Hom. Ω 602, ubi ille vir audit Ἀσσωνίδης)* 5 ἐχόμενον *Scaligerus* γήμασθαι ⟨βούλεσθαι⟩ *Zang* 7 καταπρῆσαι ⟨τὴν οἰκίαν⟩ *Hey (redarguitur scholio Hom. Ω 602)* 12 Ἑλλάνικος] *Cf. Muelleri Frag. Hist. Gr.*

ἠράσθη· καὶ αὐτὸν ἐκείνη μάλα φιλοφρόνως ὑπεδέχετο. ἦν δὲ τὴν ἰδέαν κράτιστος. φωράσας δὲ αὐτὸν ὁ πατὴρ ἀνεῖλεν. (2) *Νίκανδρος μέντοι τὸν Κόρυθον οὐκ Οἰνώνης, ἀλλὰ Ἑλένης καὶ Ἀλεξάνδρου φησὶ γενέσθαι | λέγων ἐν τούτοις·* fol. 188r

ἠρία τ' εἰν Ἀΐδαο κατοιχομένου Κορύθοιο,
ὅντε καὶ ἁρπακτοῖσιν ὑποδμηθεῖσ' ὑμεναίοις
Τυνδαρὶς αἰν' ἀχέουσα κακὸν γόνον ἤρατο βούτεω.

XXXV. Περὶ Εὐλιμένης.

[Ἱστορεῖ Ἀσκληπιάδης ὁ Μυρλεανὸς Βιθυνιακῶν ᾱ.]

Ἐν δὲ Κρήτῃ ἠράσθη Λύκαστος τῆς Κύδωνος θυγατρὸς Εὐλιμένης, ἣν ὁ πατὴρ Ἀπτέρῳ καθωμολόγητο πρωτεύοντι τότε Κρητῶν. ταύτῃ κρύφα συνὼν ἐλελήθει. (2) *ὡς δὲ τῶν Κρητικῶν τινες πόλεων*

FAB. XXXV. *Cf. de Lycasto Steph. Byz. s. v. Λύκαστος (Eustath. ad Hom. B 647); de Cydone Alex. Polyhist. ap. schol. Apoll. Rhod. IV 1492, Pausan. VIII 53, 2, schol. Theocr. VII 12 ∾ Steph. Byz. s. v. Κυδωνία, schol. Hom. τ 176; de Aptero Pausan. X 5, 10, Euseb. Chron. II 30 ed. Schoen.*

I 61 post Τρωικῶν excidisse notam libri sensit Hey, qui ex schol. Hom. Φ 242 inseri iubet numerum β̄; contra rescribendum esse Τρωικοῖς ci. Meursius *Κεφάλων] Cf. Muellerum l. l. III 69*

3 *Νίκανδρος] Cf. O. Schneideri Nicandr. pg. 130 sqq.* 6 *εἰς pro εἰν Legr* *ἀΐδαο* P 7 *ὃν τέκεν Heckerus Philol. vol. V (1846) pg. 415* 8 *κακοῦ O. Schneiderus καλὸν Mein* *ἤρατο* P *βούτῃ Potter ad Lycophr. v. 58* 10 *fontis indiculum ad sequentem de Arganthona fabulam pertinere recte asseruit Sak praef. pg. XXV* *Ἀσκληπιάδης] Cf. Muelleri Frag. Hist. Gr. III 300* 12 *Ἀπτέρᾳ Hey ex Eusebio (apud Pausaniam ille vir nominatur Πτερᾶς)*

ἐπισυνέστησαν Κύδωνι καὶ πολὺ περιῆσαν, πέμπει τοὺς πευσομένους εἰς θεοῦ, ὅ τι ἂν ποιῶν κρατήσειεν τῶν πολεμίων. καὶ αὐτῷ θεσπίζεται τοῖς ἐγχωρίοις ἥρωσι σφαγιάσαι παρθένον. (3) ἀκούσας δὲ τοῦ χρηστηρίου Κύδων διεκλήρου τὰς παρθένους πάσας καὶ κατὰ δαίμονα ἡ θυγάτηρ λαγχάνει. Λύκαστος δὲ δείσας περὶ αὐτῆς μηνύει τὴν φθορὰν καὶ ὡς ἐκ πολλοῦ χρόνου συνείη αὐτῇ, ὁ δὲ πολὺς ὅμιλος πολὺ μᾶλλον ἐδικαίου αὐτὴν τεθνάναι. (4) ἐπειδὴ δὲ ἐσφαγιάσθη, ὁ Κύδων τὸν ἱερέα κελεύει αὐτῆς διατεμεῖν τὸ ἐπομφάλιον καὶ οὕτως εὑρέθη ἔγκυος. Ἄπτερος δὲ δόξας ὑπὸ Λυκάστου δεινὰ πεπονθέναι λοχήσας αὐτὸν ἀνεῖλε καὶ διὰ ταύτην τὴν αἰτίαν ἔφυγε πρὸς Ξάνθον εἰς Τέρμερα.

XXXVI. Περὶ Ἀργανθώνης.

⟨Ἱστορεῖ Ἀσκληπιάδης ὁ Μυρλεανὸς Βιθυνιακῶν ᾱ.⟩

Λέγεται δὲ καὶ Ῥῆσον, πρὶν ἐς Τροίαν ἐπίκουρον ἐλθεῖν, ἐπὶ πολλὴν γῆν ἰέναι προσαγόμενόν τε καὶ δασμὸν ἐπιτιθέντα. ἔνθα δὴ καὶ εἰς Κίον ἀφικέσθαι κατὰ κλέος γυναικὸς καλῆς (Ἀργανθώνη αὐτῇ ὄνομα). (2) αὕτη τὴν μὲν κατ' οἶκον δίαιταν καὶ μονὴν ἀπέστυ-

---

FAB. XXXVI. *Cf. Steph. Byz. s. v. Ἀργανθών, Arrhian. ap. Eustath. ad Dionys. Perieg. v. 322 et 809, Simylum Poet. lyr. Gr. ed. Bergk. III⁴ pg. 515; ad alteram narr. partem (§ 4 sqq.) cf. Pindarum ap. schol. Hom. K 435 et Conon. Narr. cap. IV. fabulam de Arganthona tractavit G. Knaackius Goett. gel. Anz. 1896 pg. 867 sqq.*

---

6 λαγχάνει *Hey*: τυγχάνει P 10 ὑπομφάλιον *Mein* 11 ἄπταρος P 16 *de fontis indice cf. adn. ad pg. 89 v. 10* 21 ἀπεστύγει *Hir*

γεν, ἀθροισαμένη δὲ κύνας πολλοὺς ἐθήρευεν οὐ μάλα τινὰ προσιεμένη· ἐλθὼν οὖν ὁ Ῥῆσος εἰς τόνδε τὸν χῶρον βίᾳ μὲν αὐτὴν οὐκ ἦγεν· ἔφη δὲ θέλειν αὐτῇ συγκυνηγεῖν· καὶ αὐτὸς γὰρ ὁμοίως ἐκείνῃ τὴν | fol. 188v πρὸς ἀνθρώπους ὁμιλίαν ἐχθαίρειν· ἡ δὲ ταῦτα λέξαντος ἐκείνου κατήνεσε πειθομένη αὐτὸν ἀληθῆ λέγειν. (3) χρόνου δ' ⟨οὐ⟩ πολλοῦ διαγενομένου εἰς πολὺν ἔρωτα παραγίνεται τοῦ Ῥήσου. καὶ τὸ μὲν πρῶτον ἡσυχάζει αἰδοῖ κατεχομένη, ἐπειδὴ δὲ σφοδρότερον ἐγίνετο τὸ πάθος, ἀπετόλμησεν εἰς λόγους ἐλθεῖν αὐτῷ· καὶ οὕτως ἐθέλων ⟨ἐθέλουσαν⟩ αὐτὴν ἐκεῖνος ἠγάγετο γυναῖκα. (4) ὕστερον δὲ πολέμου γενομένου τοῖς Τρωσὶ μετῆεσαν αὐτὸν οἱ βασιλεῖς ἐπίκουρον. ἡ δὲ Ἀργανθώνη, εἴτε καὶ δι' ἔρωτα, ὃς πολὺς ὑπῆν αὐτῇ, εἴτε καὶ ἄλλως καταμαντευομένη τὸ μέλλον, βαδίζειν αὐτὸν οὐκ εἴα. Ῥῆσος δὲ μαλακιζόμενος τῇ μονῇ οὐκ ἠνέσχετο, ἀλλὰ ἦλθεν εἰς Τροίαν καὶ μαχόμενος ἐπὶ ποταμῷ τῷ νῦν ἀπ' ἐκείνου Ῥήσῳ καλουμένῳ πληγεὶς ὑπὸ Διομήδους ἀποθνῄσκει. (5) ἡ δὲ ὡς ᾔσθετο τεθνηκότος αὐτοῦ, αὖτις ἀπεχώρησεν εἰς τὸν τόπον, ἔνθα ἐμίγη πρῶτον αὐτῷ, καὶ περὶ αὐτὸν ἀλωμένη θαμὰ ἐβόα τοὔνομα τοῦ Ῥήσου· τέλος

---

1 πολλὰς *idem* 7 δ' ⟨οὐ⟩ *Jac*: δὲ P 8 παράγεται *Hey* παροτρύνεται *Legr* παρακινεῖται *Ro* 9 ἡσυχάζει *Hey*: ἡσυχάζειν P κατεχομένη *Hey*: κατεχομένην P 11 ἐθέλων ⟨ἐθέλουσαν⟩ αὐτὴν *Pass* ἐθέλων ⟨ἐθέλουσαν⟩ [αὐτὴν] *Kayserus* ἐθέλουσαν αὐτὴν *Legr*: ἐθέλων αὐτὴν P 12 ⟨τοῦ⟩ πολέμου *Zang* 14 εἴτε γοῦν δι' ἔρ. *Legr* 16 μαλακιζόμενος τῇ μονῇ (*vel* τῇ ἐπιμονῇ) οὐκ ἠν. (*'cum mora diuturna effeminari nollet'*) *Ro* μάλα κακιζόμενος ἐπὶ μονῇ οὐκ ἠν. *Peerlkampius Bibl. crit. nov. II pg. 220, hoc inserto ante* μονῇ *articulo* τῇ *Cob*: μαλακιζόμενοσ ἐπι (*sic*) μονῆι οὐκ ἠν. P 20 αὐτίκα *Hir* ἀνεχώρησεν *Her*

δὲ σῖτα καὶ ποτὰ μὴ προσιεμένη διὰ λύπην ἐξ ἀνθρώπων ἀπηλλάγη.

---

1 σῖτα καὶ ποτὰ μὴ Ro Mus. Rhen. vol. XLIX (1894) pg. 624 (= Kl. Schr. I praef. XII, VI): εἶτα καὶ ποταμῷ P
textui in libro P adiuncta est subscriptio haec:

ΠΑΡΘΕΝΊΟΥ ΝΙΚΑΈΩΣ

ΠΕΡῚ ἘΡΩΤΙΚῶΝ ΠΑΘΗΜΆΤΩΝ.



IV

INDICES AD PARTHENIVM

A.

INDICES AD FRVSTVLA POETICA

[Inclinati numeri fragmentorum sunt.]

I. FONTES

II. CARMINVM TITVLI

III. VOCABVLA

B.

INDICES AD NARRATIONES AMATORIAS

[Quaecumque aut interpolatori debentur aut ad carmina aliorum poetarum a Parthenio ipsius operi inserta pertinent erectis typis descripta sunt; denotatur siglo *A. A.* Alexander Aetolus, *Nicand.* Nicander, *Nicaen.* Nicaenetus, *L. c.* auctor *Λέσβου κτίσεως*. numeri adpositi paginarum sunt et versuum.]

I. AVCTORES LAVDATI

II. NOMINA DEORVM HOMINVM LOCORVM

III. RES MEMORABILIORES

Addenda.

Sero, a G. Knaackio admonitus, cognovi Th. Bergkium *Anthol. lyr.*[4] praef. pg. XIX de non nullis Parthenii fragmentis disputasse. veluti suasit, ut frg. 7 sic scriberetur: *ξυνῇ ἐγὼ Τηθύς τε καὶ ὠγενίης Στυγὸς ὕδωρ*. ad quae adnotavit: 'Oceanus loquitur'. nos aliter de illo versu iudicamus (cf. pg. 14); tamen salva nostra interpretatione elegantissimam Bergkii coniecturam *ξυνῇ* (pro *συντη*) probare possumus ac probamus; contra Bergkiano commento *Τηθύς* multo praestare arbitramur egregiam Salmasii emendationem *Τηθύν*. frg. 8: *ἀποτηλίστων* quod ego restitui, Bergkius quoque commendavit. porro v. d. frg. 10 — infelicissime me iudice — redintegravit in hunc modum: ⟨*Σὺν τῇ*⟩ *Ἰβηρίτῃ πλεύσῃ* (vel *πλευσῇ*) *ἐν αἰγιαλῷ*. denique fragmenti 22 versum primum sic scribendum censuit: *παρθενικῇ Κιλίκων εἶχεν ἀνακτορίην*. cetera quae protulit non digna sunt quae repetantur.

pg. 22. De inscriptione carminis Partheniani *ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ* cf. Dahlii diss. *Demetr. π. ἑρμ.* (Bip. 1894) pg. 44.

pg. 33/34. De forma *Ἰφιγόνη* vide etiam quae exposuit Mayer *De Euripidis mythopoeia* (Berol. 1883) pg. 29.

pg. 42, 8. Iniuria Mayer-G'schrey *Parth. Nic. quale dic. gen. sec. sit* (Heidelb. 1898) pg. 22 corrupta esse contendit verba *εἰς ἔπη καὶ ἐλεγείας ἀνάγειν τὰ μάλιστα — ἁρμόδια*. insigniter enim confirmatur hic verbi *ἀνάγειν* usus locutione plane simili *ἀνάγειν λόγον εἰς σχῆμα*, quam satis explicavit Max. Schmidtius in libro *De Theophrasto rhet.* (Hal. Sax. 1839) pg. 23.

pg. 49, 23 sqq. G. Knaackius verba tradita lacunosa esse putat: post *ἐπὶ* excidisse existimat nomen loci quo convenerint Thessali.
